Nous pouvons conclure des observations précédentes et d'autres semblables, que les étoiles appelées simplement fixes, conservent entr'elles invariablement la même position, et qu'elles sont toutes entraînées par un mouvement commun; mais en outre, que leur sphère a encore un mouvement propre, qui se fait dans un sens contraire à celui qui fait tourner l'univers, c'est-à-dire que ce mouvement se fait vers les points plus avancés suivant l'ordre des signes (*en longitude*), que le grand cercle qui passe par les poles de l'équateur et du cercle mitoyen du zodiaque (*a*). On s'en apperçoit surtout par le changement de position des mêmes étoiles; elle n'est plus la même aujourd'hui qu'elle étoit anciennement, relativement aux points tropiques et équinoxiaux, attendu que dans ces derniers temps, leur distance relativement à ces points se trouve plus grande suivant l'ordre des signes, en allant de ces mêmes points vers l'orient.

En effet, quand Hipparque dans son traité du transport (*métaptose*) des points solsticiaux et équinoxiaux, citant quelques-unes des éclipses de lune, tant de celles qui ont été bien observées de son temps, que de celles qui l'avoient été avant lui par Timocharis, marque 6 degrés pour la distance où, de son temps, l'épi étoit du point équinoxial d'automne,

ΚΕΦΑΛΑΙΟΝ Β.

ΟΤΙ ΚΑΙ Η ΤΩΝ ΑΠΛΑΝΩΝ ΣΦΑΙΡΑ ΕΙΣ ΤΑ ΕΠΟΜΕΝΑ ΤΟΥ ΔΙΑ ΜΕΣΩΝ ΤΩΝ ΖΩΔΙΩΝ ΚΥΚΛΟΥ ΚΙΝΗΣΙΝ ΤΙΝΑ ΠΟΙΕΙΤΑΙ.

Το μὲν οὖν μίαν καὶ τὴν αὐτὴν εἶναι σχέσιν τε καὶ κίνησιν πάντων ἁπλῶς τῶν καλουμένων ἀπλανῶν ἀστέρων, ἀπὸ τούτων καὶ τῶν τοιούτων ἡμῖν δύναται παρίστασθαι· τὸ δὲ καὶ τὴν τούτων σφαῖραν ποιεῖσθαί τινα κίνησιν ἰδίαν εἰς τὰ ἐναντία τῇ τῶν ὅλων φορᾷ, τουτέστιν εἰς τὰ ἑπόμενα τοῦ διὰ ἀμφοτέρων τῶν πόλων τῶν τε τοῦ ἰσημερινοῦ καὶ τοῦ διὰ μέσων τῶν ζωδίων γραφομένου μεγίστου κύκλου, φανερὸν ἡμῖν γίνεται μάλιστα, διὰ τὸ τοὺς αὐτοὺς ἀστέρας μὴ τὰς αὐτὰς διαστάσεις πάλαι τε καὶ καθ' ἡμᾶς πρὸς τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα συντηρεῖν, ἀλλ' αἰεὶ κατὰ τοὺς ὑστέρους χρόνους, πλείονα τῆς προτέρας διάστασιν εἰς τὰ ἑπόμενα τῶν αὐτῶν σημείων ἀπέχοντας εὑρίσκεσθαι.

Οτε γὰρ Ιππαρχος ἐν τῷ περὶ τῆς μεταπτώσεως τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων, παρατιθέμενος ἐκλείψεις σεληνιακὰς, ἔκ τε τῶν καθ' ἑαυτὸν τετηρημένων ἀκριβῶς, καὶ ἐκ τῶν ἔτι πρότερον ὑπὸ Τιμοχάριδος, ἐπιλογίζεται τὸν στάχυν ἀπέχοντα τοῦ μετοπωρινοῦ σημείου εἰς τὰ προηγούμενα, ἐν μὲν τοῖς καθ' ἑαυτὸν χρόνοις, μοίρας $\bar{\varsigma}$, ἐν δὲ τοῖς κατὰ

Τιμόχαρι τ̄ ἔγγισα μοίρας· φησὶ γὰρ ἐπὶ πᾶσιν οὕτως· εἰ τοίνυν λόγου χάριν ὁ στάχυς προηγεῖτο τοῦ φθινοπωρινοῦ σημείου κατὰ τὸ μῆκος τῶν ζῳδίων, πρότερον μοίρας ῑ, νῦν δὲ προηγεῖται μοίρας η̄, καὶ ὅσα δὲ τούτοις ἐπιλέγει σχεδὸν δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀπλανῶν, ὧν πεποίηται τὴν σύγκρισιν, τὴν τοσαύτην εἰς τὰ ἑπόμενα παραχώρησιν ἀποδείκνυσι γεγενημένην· ἡμεῖς τε τὰ καθ' ἑαυτοὺς φαινόμενα τῶν ἀπλανῶν διαστήματα πρὸς τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα παραβάλλοντες τοῖς ὑπὸ τοῦ Ἱππάρχου τετηρημένοις τε καὶ ἀναγεγραμμένοις, οὐδὲν ἧττον εὑρίσκομεν τὴν εἰς τὰ ἑπόμενα τοῦ διὰ μέσων παραχώρησιν αὐτῶν ἀναλόγως τῇ προκειμένῃ μεταβάσει γεγενημένην. Πεποιήμεθα δὲ τὴν τοιαύτην ἐξέτασιν διὰ τοῦ προκατασκευασθέντος ἡμῖν ὀργάνου πρὸς τὰς παρατηρήσεις τῶν κατὰ μέρος τῆς σελήνης ἀπὸ τοῦ ἡλίου διαστάσεων, τὸν μὲν ἕτερον τῶν ἀστρολάβων κύκλον πρὸς τὴν καταλαμβανομένην ἐν τῇ τῆς τηρήσεως ὥρᾳ φαινομένης τῆς σελήνης πάροδον ἀποκαθιστάντες, τὸν δὲ ἕτερον πρὸς τὸν διοπτευόμενον ἀστέρα παραφέροντες, ὅπως ἂν ἥτε σελήνη καὶ ὁ ἀστὴρ ἅμα κατὰ τῶν οἰκείων τόπων διοπτεύωνται· καὶ οὕτως ἐκ τῆς πρὸς τὴν σελήνην διαστάσεως καὶ τὴν ἑνὸς ἑκάστου τῶν λαμπρῶν ἀστέρων ἐποχὴν καταλαμβάνομεν.

Ὡς γὰρ ἐφ' ἑνὸς ὑποδείγματος, ἐτηρήσαμεν, τῷ δευτέρῳ ἔτει Ἀντωνίνου, κατ' Αἰγυπτίους Φαρμουθὶ θ̄ᵑ, μέλλοντος μὲν δύνειν ἐν Ἀλεξανδρείᾳ τοῦ ἡλίου, μεσουραγοῦντος δὲ τοῦ τελευταίου τμήματος

vers les points précédens, et 8 degrés environ pour sa distance du même point, au temps de Timocharis, car voici comme il raisonne : « si, par exemple, au temps de Timocharis l'épi précédoit le point équinoxial d'abord de 8 degrés, en suivant la longitude des constellations du zodiaque, et que maintenant il le précède de 6 seulement, et le reste...», il conclut de la comparaison de presque toutes les étoiles qu'il a examinées, que toutes avoient un semblable mouvement, suivant l'ordre des signes. Pour nous, comparant aussi les distances respectives des fixes aux points (tropiques) solsticiaux et équinoxiaux, avec celles qui ont été observées et décrites par Hipparque, nous trouvons également cette progression suivant l'ordre des constellations du cercle mitoyen du zodiaque, dans la même proportion que celle qui avoit été observée auparavant. Nous avons fait cette recherche avec l'aide de l'instrument que nous avons composé pour les observations des distances où la lune est successivement à l'égard du soleil, en plaçant l'un des cercles de l'astrolabe dans la direction du lieu où la lune nous paroît être au moment de l'observation ; et dirigeant l'autre vers l'étoile à laquelle nous visons, de manière que nous puissions appercevoir la lune et l'étoile dans leurs points respectifs, nous prenons ainsi le lieu de chaque étoile brillante par sa distance à la lune.

Pour donner un exemple de ces observations, le 9 du mois égyptien Pharmouthi, de la seconde année d'Antonin, au coucher du soleil pour Alexandrie, la dernière portion du taureau étant alors

au méridien, c'est-à-dire à 5 $\frac{1}{2}$ heures équinoxiales après midi du neuf, nous observâmes la distance apparente de la lune au soleil qui étoit alors sur 3 degrés des poissons, et nous la trouvâmes de $92^{d}\ \frac{1}{2}$. Une demi-heure après, le soleil étant couché, et le quart (*b*) des gémeaux étant au méridien, la lune étant toujours vue par le même point du cercle de l'astrolabe, l'étoile du cœur du lion se voyoit par le moyen de l'autre cercle de l'instrument à une distance de la lune, marquée par 57 degrés $\frac{1}{6}$ comptés sur le cercle mitoyen du zodiaque, vers l'orient. Mais alors le soleil étoit par son mouvement vrai, sur $3^{d}\ \frac{1}{20}$ environ des poissons, ensorte que la lune paroissant à une distance de 92 degrés $\frac{1}{8}$, vers l'orient, elle se trouvoit alors sur $5^{d}\ \frac{1}{6}$ des gémeaux, comme on le trouve par les hypothèses (*calculs du mouvement vrai et de la parallaxe*). Or, une demi-heure après, la lune a dû s'être avancée de $\frac{1}{4}$ d'un degré à peu-près; sa parallaxe doit avoir été d'environ un douzième de degré vers l'occident. Donc la lune paroissoit occuper les $5^{d}\ \frac{1}{3}$ des gémeaux, et par conséquent l'étoile du cœur du lion, qui paroissoit à $57^{d}\ \frac{1}{6}$ loin de la lune vers l'orient, étoit sur les $2^{d}\ 30'$ du lion, et à $32^{d}\ 30'$ du point tropique (*solstice*) d'été.

Mais dans la cinquantième année de la 3e période de Calippe (*c*), comme le rapporte Hipparque dans l'exposé de l'observation qu'il en a faite, cette même étoile étoit à $29^{d}\ \frac{1}{2}\ \frac{1}{3}$ loin du même point

τοῦ ταύρου, τουτέστι μετὰ $\overline{\varepsilon}$ ς″ ὥρας ἰσημερινὰ ςτῆς ἐν τῇ $\overline{\theta}^{\eta}$ μεσημβρίας, τὴν φαινομένην σελήνην ἀπέχουσαν τοῦ ἡλίου περὶ τὰς $\overline{\gamma}$ μοίρας τῶν ἰχθύων, διοπτευομένου τμήματος ζ$\overline{\beta}$ καὶ η″· μετὰ δὲ ἡμιώριον καταδεδυκότος ἤδη τοῦ ἡλίου, καὶ μεσουρανοῦντος τοῦ τετάρτου μέρους τῶν διδύμων, τῆς φαινομένης σελήνης κατὰ τὴν αὐτὴν θέσιν διοπτευομένης, ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος ἐφαίνετο διὰ τοῦ ἑτέρου τῶν ἀςρολάβων ἀπέχων τῆς σελήνης εἰς τὰ ἑπόμενα πάλιν μοίρας, ἐπὶ τοῦ διὰ μέσων τῶν ζωδίων, νζ ς″. Αλλὰ τὸ μὲν πρῶτον ἐπεῖχεν ὁ ἥλιος ἀκριβῶς ἰχθύων μοίρας $\overline{\gamma}$ καὶ κ″ ἔγγιςα μιᾶς μοίρας μέρος, ὥστε καὶ τὴν σελήνην τὴν φαινομένην ἐπέχειν τότε, διὰ τὴν τῶν ζ$\overline{\beta}$ καὶ η″ μοιρῶν εἰς τὰ ἑπόμενα διάςασιν, τῶν διδύμων μοίρας $\overline{\varepsilon}$ καὶ ς′ ἔγγιςα, ὅσας καὶ κατὰ τὰς ὑποθέσεις ἡμῶν ὤφειλεν ἐπέχειν· μετὰ δὲ τὸ ἡμιώριον ἡ σελήνη ἐπικινηθῆναι μὲν ὤφειλεν εἰς τὰ ἑπόμενα δ″ ἔγγιςα μιᾶς μοίρας, παραλλάξαι δὲ εἰς τὰ προηγούμενα παρὰ τὴν πρώτην θέσιν ιβ″ ἔγγιςα μιᾶς μοίρας. Επεῖχεν οὖν καὶ μετὰ τὸ ἡμιώριον ἡ φαινομένη σελήνη διδύμων μοίρας $\overline{\varepsilon}$ γ″, ὥστε καὶ ὁ ἐπὶ τῆς καρδίας, ἐπειδήπερ ἀπέχων αὐτῆς ἐφαίνετο εἰς τὰ ἑπόμενα μοίρας νζ$\overline{\varsigma}$ ς″, ἐπεῖχε μὲν τοῦ λέοντος μοίρας $\overline{\beta}$ ς″, διειςήκει δὲ τοῦ θερινοῦ τροπικοῦ σημείου μοίρας λ$\overline{\beta}$ ς″.

Αλλὰ, κατὰ τὸ $\overline{\nu}^{ον}$ ἔτος τῆς τρίτης κατὰ Κάλιππον περιόδου, ὡς ὁ Ιππαρχος ἀναγράφει τηρήσας, ἀπεῖχε τοῦ αὐτοῦ θερινοῦ τροπικοῦ σημείου πάλιν εἰς τὰ ἑπόμενα μοίρας κθ$\overline{\varsigma}$ ς″ γ″. Παρακεχώρηκεν ἄρα

ὁ ἐπὶ τῆς καρδίας τοῦ λέοντος εἰς τὰ ἑπόμενα τοῦ διὰ μέσων τῶν ζωδίων μοίρας $\overline{\beta}$ $\beta^{\prime}$, τῶν ἀπὸ τῆς τοῦ Ἱππάρχου τηρήσεως ἐτῶν μέχρι τῆς ἀρχῆς Ἀντωνίνου, καθ' ἃν μάλιστα καὶ ἡμεῖς τὰς πλείστας τῶν ἀπλανῶν παρόδους τετηρήκαμεν, $\overline{\varepsilon}$ που καὶ $\overline{\xi}$ καὶ $\overline{\sigma}$ συναγομένων, ὡς ἐκ τούτων τὴν τῆς μιᾶς μοίρας εἰς τὰ ἑπόμενα παραχώρησιν ἐν ἑκατὸν ἔγγιστα ἔτεσι γεγενημένην εὑρῆσθαι, καθάπερ καὶ ὁ Ἵππαρχος ὑποτετοπκὼς φαίνεται, δι' ὧν φησιν ἐν τῷ περὶ τοῦ ἐνιαυσίου μεγέθους οὕτως· εἰ γὰρ παρὰ ταύτην τὴν αἰτίαν αἵ τε τροπικαὶ καὶ ἰσημερινὰι μετέβαινον εἰς τὰ προηγούμενα τῶν ζωδίων ἐν τῷ ἐνιαυτῷ, μὴ ἔλασσον ἢ ἑκατοστὸν μιᾶς μοίρας, ἔδει ἐν τοῖς τριακοσίοις ἔτεσι μὴ ἔλασσον ἢ $\overline{\gamma}$ μοίρας αὐτὰ μεταβεβηκέναι. Τὸν αὐτὸν δὲ τρόπον τόν τε στάχυν καὶ τοὺς λαμπροτάτους τῶν περὶ τὸν διὰ μέσων ἀπὸ τῆς σελήνης διοπτεύσαντες, εἶτα λοιπὸν ἀπ' αὐτῶν τούτων προχειρότερον καὶ τοὺς ἄλλους, τὰς μὲν πρὸς ἀλλήλους αὐτῶν διαστάσεις εὑρίσκομεν πάλιν τὰς αὐτὰς ἔγγιστα ταῖς ὑπὸ τοῦ Ἱππάρχου τετηρημέναις, τὰς δὲ πρὸς τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα καθ' ἕκαστον ταῖς $\overline{\beta}$ $\beta^{\prime}$ μοίραις ἔγγιστα παρακεχωρηκυίας εἰς τὰ ἑπόμενα, παρὰ τὴν κατὰ τὸν Ἵππαρχον ἀναγραφήν.

tropique vers l'orient : elle s'étoit donc avancée vers l'orient de $2^{d}\frac{2}{3}$ sur le cercle mitoyen du zodiaque, pendant les années écoulées depuis l'observation d'Hipparque jusqu'au commencement (*d*) du règne d'Antonin, époque où nous avons observé la plupart des mouvemens des étoiles, 265 ans (*e*) environ après Hipparque. Nous avons jugé d'après cela que les étoiles s'avancent vers l'orient d'un degré à peu-près en cent ans, comme il semble qu'Hipparque l'a soupçonné, suivant ce qu'il dit dans son traité de la longueur de l'année, en ces mots : « car, si par cette cause, les points tropiques et les équinoxes ont marché vers l'occident, d'une quantité qui n'est pas au-dessous de la centième d'un degré en un an, il faut qu'en 300 ans ils se soient avancés dans ce sens, d'une quantité égale à 3 degrés ». Après avoir observé de cette manière l'épi et les plus brillantes étoiles du cercle mitoyen du zodiaque, comparativement à la lune, puis celles qui en sont les plus proches, et ensuite les autres étoiles, nous avons trouvé leurs distances entr'elles, telles à peu-près qu'Hipparque les avoit vues; mais nous avons remarqué que leurs distances aux points tropiques et équinoxiaux étoient devenues plus grandes de $2^{d}\frac{2}{3}$, à très-peu-près, vers l'orient, au-delà des lieux où Hipparque écrit qu'il les avoit observées.

CHAPITRE III.

LA RÉVOLUTION DE LA SPHÈRE DES ÉTOILES FIXES SE FAIT AUTOUR DES POLES DU CERCLE MITOYEN DU ZODIAQUE, SUIVANT L'ORDRE ET LA SUITE DES CONSTELLATIONS ZODIACALES.

On comprend aisément par ce qui vient d'être démontré, que la sphère des étoiles fixes est emportée par le même mouvement à peu près suivant l'ordre des constellations du cercle mitoyen du zodiaque. Il s'agit maintenant de chercher comment se fait ce mouvement, c'est-a-dire si c'est autour des poles de l'équateur, ou autour de ceux du cercle oblique qui passe par le milieu des constellations du zodiaque. On pourroit le trouver par le moyen de la progression même en longitude; en effet, les grands cercles qui passent par les poles de l'un des deux cercles que je viens de nommer, interceptent sur l'un et sur l'autre, des arcs inégaux (*a*), à moins que dans le même temps cette progression en longitude ne soit extrêmement petite; car alors, pour la raison qui a été dite, leur différence seroit insensible. Mais cela se verra beaucoup mieux à l'aide de la progression en latitude, dans le temps passé, comparée à celle du temps présent. Car celui des cercles, équateur, ou oblique mitoyen du zodiaque, par rapport auquel les étoiles, en gardant la même distance en latitude, paroissent toujours également distantes de ses poles, est évidemment celui sur lequel tourne leur sphère. Hipparque a jugé que ce mouvement se fait

ΚΕΦΑΛΑΙΟΝ Γ.

ΟΤΙ ΚΑΙ ΠΕΡΙ ΤΟΥΣ ΤΟΥ ΔΙΑ ΜΕΣΩΝ ΠΟΛΟΥΣ Η ΤΗΣ ΤΩΝ ΑΠΛΑΝΩΝ ΣΦΑΙΡΑΣ ΕΙΣ ΤΑ ΕΠΟΜΕΝΑ ΚΙΝΗΣΙΣ ΑΠΟΤΕΛΕΙΤΑΙ.

Το μὲν οὖν καὶ τὴν τῶν ἀπλανῶν σφαῖραν εἰς τὰ ἑπόμενα τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου τὴν τοσαύτην ἔγγισα ποιεῖσθαι μετάβασιν, διὰ τούτων ἡμῖν γέγονεν εὐκατανόητον. Ἐξῆς δ' ὄντος ἐπιζητῆσαι τὸν τρόπον τῆς τοιαύτης κινήσεως, τουτέστι πότερον πότε περὶ τοὺς τοῦ ἰσημερινοῦ πόλους, ἢ περὶ τοὺς τοῦ λοξοῦ καὶ διὰ μέσων τῶν ζωδίων ἀποτελεῖται· ἐγίνετο μὲν ἂν τὸ τοιοῦτον δῆλον καὶ ἐξ αὐτῆς τῆς κατὰ μῆκος παραχωρήσεως· ἐπειδήπερ οἱ διὰ τῶν πόλων τοῦ ἑτέρου τῶν εἰρημένων γραφόμενοι μέγιστοι κύκλοι ἀνίσους ἀπολαμβάνουσιν ἀφ' ἑκατέρου περιφερείας, εἰ μὴ παντάπασιν ἔν γε τῷ τοσούτῳ χρόνῳ βραχείας γεγενημένης τῆς κατὰ μῆκος παραχωρήσεως, ἀνεπαίσθητος ἔτι ἐτύγχανεν ἡ διὰ τὴν προειρημένην αἰτίαν διαφορά. Μάλιστα δ' ἂν τὸ τοιοῦτον εὐκατανόητον γένοιτο διὰ τῆς κατὰ πλάτος αὐτῶν παρόδου, πάλαι τε καὶ νῦν. Πρὸς ὁπότερον γὰρ ἂν τῶν κύκλων τοῦ τε ἰσημερινοῦ καὶ τοῦ διὰ μέσων τῶν ζωδίων τὴν κατὰ τὸ πλατος διάσασιν συντηροῦντες αἰεὶ φαίνονται περὶ τοὺς τούτου πόλους, δῆλον ὅτι καὶ ἡ τῆς σφαίρας αὐτῶν κίνησις ἀποτελεσθήσεται. Συγκατατίθεται μὲν οὖν καὶ ὁ Ιππαρχος τῇ

περὶ τοὺς τοῦ λοξοῦ πόλους γινομένη· συνάγει γὰρ, ἐν τῷ περὶ τῆς μεταπτώσεως τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων, πάλιν αὐτὸν τὸν ϛάχυν, ἔκτε τῶν ὑπὸ Τιμοχάριδος καὶ ἐκ τῶν ὑπ' αὐτοῦ τετηρημένων, οὐχὶ πρὸς τὸν ἰσημερινὸν, ἀλλὰ πρὸς τὸν διὰ μέσων τῶν ζωδίων τὴν πηλικότητα τῆς κατὰ πλάτος ἀποϛάσεως τετηρηκότα, καὶ δυσὶ μοίραις νοτιώτερον ὄντα τοῦ διὰ μέσων τῶν ζωδίων, καὶ πρότερον καὶ ὕϛερον. Καὶ διὰ τοῦτο ἐν τῷ περὶ τοῦ ἐνιαυσίου μεγέθους ὑποτίθεται τὴν περὶ τοὺς τοῦ διὰ μέσων τῶν ζωδίων πόλους γινομένην κίνησιν· δισάζει δ' ὅμως ἔτι, καθάπερ καὶ αὐτός φησι, διὰ τὸ μήτε τὰς τηρήσεις τῶν περὶ τὸν Τιμόχαριν ἀξιοπίϛους εἶναι πάνυ ὁλοσχερῶς εἰλημμένας, μήτε τὴν ἐν τῷ μεταξὺ χρόνῳ διαφορὰν ἱκανὴν ἤδη γεγονέναι πρὸς βεβαίαν κατάληψιν. Ημεῖς μέντοι καὶ κατὰ τὸν ἔτι πλείω χρόνον τετηρημένον εὑρίσκοντες τὸ τοιοῦτον, καὶ κατὰ πάντων σχεδὸν τῶν ἀπλανῶν, βεβαιοτέραν εἰκότως ἂν ἤδη νομίζοιμεν τὴν περὶ τοὺς τοῦ λοξοῦ πόλους γινομένην αὐτῶν κίνησιν. Τὰς μὲν γὰρ πρὸς τὸν διὰ μέσων τῶν ζωδίων ἑκάϛου κατὰ πλάτος ἀποϛάσεις τηροῦντες, ὡς ἐπὶ τοῦ διὰ τῶν πόλων αὐτοῦ γραφομένου μεγίϛου κύκλου, σχεδὸν τὰς αὐτὰς εὑρίσκομεν περιεχομένας ταῖς κατὰ τὸν Ιππαρχον ἀναγεγραμμέναις καὶ συναγομέναις, ἢ τὸ ἐλάχιϛόν γε, καὶ ὅσον ἂν παρ' αὐτὰς τὰς τηρήσεις ἐνδέχοιτο παροραθῆναι, διαφωνούσας.

Επὶ δὲ τῶν πρὸς τὸν ἰσημερινὸν, ὡς ἐπὶ τοῦ διὰ τῶν πόλων αὐτοῦ γραφομένου

autour des poles de l'oblique. Car dans son traité du transport des points tropiques et équinoxiaux, il cite encore l'épi comme ayant conservé, d'après les observations de Timocharis et les siennes, la même distance en latitude, non relativement à l'équateur, mais relativement au cercle mitoyen du zodiaque : distance qui a toujours été, avant et après lui, de deux degrés plus australe que ce cercle. C'est pourquoi, dans son traité de la longueur de l'année, il présume que ce mouvement se fait autour des poles du cercle mitoyen du zodiaque. Il en doute encore, cependant, comme il le dit lui-même, parceque les observations de Timocharis ne lui paroissent pas mériter une grande confiance, attendu qu'elles avoient été faites assez légèrement, et qu'il n'y avoit pas eu assez de temps entre les unes et les autres pour rendre la conclusion bien certaine. Mais les observations que nous avons faites en des temps bien postérieurs à lui, sur presque toutes les fixes, nous autorisent à soutenir que leur mouvement se fait autour des poles du cercle oblique. Car en observant leurs distances à l'oblique, sur le cercle qui passe par les poles de cet oblique mitoyen du zodiaque, nous avons trouvé que ces distances étoient les mêmes à très-peu près que celles qui avoient été décrites et recueillies du temps d'Hipparque, ou au moins très-peu différentes, et d'une quantité qui peut très-bien tenir aux fautes des observations.

Quant aux distances à l'équateur, comptées (*b*) sur le grand cercle qui passe

par ses poles, nous ne les avons pas trouvées les mêmes que celles qui avoient été décrites par Hipparque, ni égales à celles qui avoient été observées auparavant par Timocharis; mais nous nous sommes convaincus par l'examen que nous en avons fait, qu'elles conservent toujours la même latitude qu'elles avoient, relativement à l'écliptique. Leurs distances à l'équateur dans l'hémisphère, qui depuis le tropique d'hiver jusqu'au tropique d'été, contient le point équinoxial du printemps, se sont trouvées plus boréales qu'elle n'étoient auparavant; et celles de l'hémisphère opposé, plus méridionales; celles qui sont voisines des points équinoxiaux s'en étant éloignées à de plus grandes distances, et celles qui sont proches des points tropiques, à de plus petites de ceux-ci, en proportion de ce que dans la progression en longitude, les portions de l'oblique suivant l'ordre des constellations, deviennent de plus en plus les unes plus boréales, les autres plus méridionales que l'équateur. Mais pour rendre ceci plus clair par quelques exemples faciles à saisir, nous exposerons pour chacun de ces hémisphères, les distances des étoiles depuis l'équateur, sur le grand cercle qui passe par ses poles, selon qu'elles ont été prises par Timocharis et Hipparque, et que je les ai observées moi-même par les mêmes procédés.

Timocharis place la claire de l'aigle à $5^{d}\ \frac{1}{5}$ de l'équateur vers l'ourse, et Hipparque de même; mais nous l'avons trouvée plus boréale de $5^{d}\ \frac{1}{2}\ \frac{1}{5}$. Timocharis représente l'étoile du milieu de la pléïade (*Alcyone*) comme étant plus boréale que

μεγίστου κύκλου, τηρουμένων διαστάσεων, οὔτε τὰς ὑφ' ἡμῶν καταλαμβανομένας συμφώνους ταῖς ὑπὸ τοῦ Ιππάρχου κατὰ τὸν αὐτὸν τρόπον ἀναγεγραμμέναις, οὔτε ταύτας ταῖς ἔτι πρότερον ὑπὸ τῶν περὶ τὸν Τιμόχαριν, ἀλλὰ καὶ ἐξ αὐτῶν τούτων συνισαμένην ἔτι μᾶλλον τὴν πρὸς τὸν διὰ μέσων τῶν ζωδίων κύκλον αὐτῶν τοῦ πλάτους ταυτότητα, βορειοτέρων μὲν εὑρισκομένων αἰεὶ τῆς παλαιοτέρας πρὸς τὸν ἰσημερινὸν διαστάσεως, τῶν ἐν τῷ ἀπὸχειμερινῆς τροπῆς ὡς ἐπὶ τὸ ἐαρινὸν σημεῖον μέχρι θερινῆς τροπῆς ἡμισφαιρίῳ, νοτιωτέρων δὲ τῶν ἐν τῷ ἐναντίῳ. Καὶ τῶν μὲν τοῖς ἰσημερινοῖς σημείοις ἐγγιζόντων ἐν ταῖς μείζοσι διαφοραῖς, τῶν δὲ τοῖς τροπικοῖς ἐν ἐλάττοσι, καὶ σχεδὸν ἡλίκαις ἐπὶ τῆς ἀναλόγου κατὰ μῆκος παραχωρήσεως τὰ ἑπόμενα τμήματα τοῦ διὰ μέσων βορειότερα ἢ νοτιώτερα γίνεται τοῦ ἰσημερινοῦ. Ινα δὲ καὶ ἐπ' ὀλίγων τῶν εὐκατανοήτων μᾶλλον παρασήσωμεν τὸ λεγόμενον, ἐκθησόμεθα καθ' ἑκάτερον τῶν εἰρημένων ἡμισφαιρίων τὰς ἀναγεγραμμένας αὐτῶν τοῦ ἰσημερινοῦ κατὰ πλάτος ἀποστάσεις, ὡς ἐπὶ τοῦ διὰ τῶν πόλων αὐτοῦ γραφομένου μεγίστου κύκλου, κατά τε τοὺς περὶ τὸν Τιμόχαριν καὶ κατὰ τὸν Ιππαρχον, καὶ ἔτι τὰς ὑφ' ἡμῶν τὸν αὐτὸν τρόπον κατειλημμένας.

Τὸν μὲν τοίνυν ἐν τῷ ἀετῷ λαμπρὸν Τιμόχαρις μὲν ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ μοίραις $\overline{\varepsilon}$ καὶ τέσσαρσι πεμπτημορίοις, καὶ Ιππαρχος δὲ ταῖς αὐταῖς· ἡμεῖς δὲ εὑρίσκομεν μοίραις $\overline{\varepsilon}$ καὶ ς″ καὶ γ″. Τὸ δὲ μέσον τῆς πλειάδος Τιμόχαρις μὲν

ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ, μοίραις ιδ̄ ς′′, Ιππαρχος δὲ μοίραις ιε̄ ς′′, ἡμεῖς δὲ εὑρίσκομεν ις̄ δ′′. τὸν δὲ λαμπρὸν τῶν Υάδων Τιμόχαρις μὲν ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ, μοίραις η̄ ς′′ δ′′, Ιππαρχος δὲ θ ς′′ δ′′, ἡμεῖς δὲ εὑρίσκομεν μοίρας ιᾱ. Τὸν δ' ἐν τῷ ἡνιόχῳ λαμπρότατον, καλουμενον δὲ αἶγα, Αρίσυλλος μὲν ἀναγάρφει βορειότερον τοῦ ἰσημερινοῦ μοίραις μ̄, Ιππαρχος δὲ μοίραις μ̄ καὶ δυσὶ πέμπτοις, ἡμεῖς δὲ εὑρίσκομεν μᾱ ς′. Τὸν δ' ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ Ωρίωνος Τιμόχαρις μὲν ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ, μοίρᾳ ᾱ καὶ ε′′, Ιππαρχος δὲ μοίρᾳ ᾱ καὶ τέσσαρσι πέμπτοις, ἡμεῖς δὲ εὑρίσκομεν β̄ ς′′. Τὸν δ' ἐν τῷ ἑπομένῳ ὤμῳ τοῦ Ωρίωνος Τιμόχαρις μὲν ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ, μοίραις γ̄ ς′′ γ′′, Ιππαρχος δὲ δ̄ γ′′, ἡμεῖς δὲ εὑρίσκομεν ε̄ δ′′. Τὸν δ' ἐν τῷ στόματι τοῦ κυνὸς λαμπρὸν Τιμόχαρις μὲν ἀναγράφει νοτιώτερον τοῦ ἰσημερινοῦ μοίραις ις̄ γ′′, Ιππαρχος δὲ ις̄, ἡμεῖς δὲ εὑρίσκομεν ιε̄ ς′′ δ′′. Τῶν δ' ἐν ταῖς κεφαλαῖς τῶν διδύμων λαμπρῶν τὸν ἡγούμενον Αρίσυλλος μὲν ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ μοίραις λγ̄, Ιππαρχος δὲ μοίραις λγ̄ ς′′, ἡμεῖς δὲ εὑρίσκομεν λγ̄ καὶ δυσὶ πέμπτοις. Τὸν δ' ἑπόμενον αὐτῶν Αρίσυλλος μὲν ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ, μοίραις λ̄, Ιππαρχος δὲ ταῖς αὐταῖς, ἡμεῖς δὲ εὑρίσκομεν λ̄ καὶ ς′′.

Τούτων δὴ πάντων, ἐπὶ τῆς κατὰ μῆκος διαθέσεως ἐν τῷ τὴν ἐαρινὴν ἰσημερίαν περιέχοντι τῶν εἰρημένων ἡμισφαιρίων, ἀπολαμβανομένων, αἱ ὕσεραι κατὰ

l'équateur, de $14\frac{1}{2}$ degrés; Hipparque l'a marquée plus boréale (*c*) de $15^{d}\frac{1}{6}$; et nous, nous la trouvons plus boréale de $16^{d}\frac{1}{4}$. Selon Timocharis, la claire des Hyades est plus boréale que l'équateur, de $8\frac{1}{2}\frac{1}{4}$; selon Hipparque, de $9^{d}\frac{1}{2}\frac{1}{4}$, et selon nous, de 11^{d}. Selon (*d*) Aristylle, la claire du cocher qu'on appelle *la chèvre*, est plus boréale que l'équateur, de 40^{d}; selon Hipparque, de $40^{d}\frac{2}{5}$; et selon nous, de $41^{d}\frac{1}{6}$. Selon Timocharis, la précédente de l'épaule d'Orion est de $1^{d}\frac{1}{5}$ plus boréale que l'équateur; selon Hipparque, de $1^{d}\frac{4}{5}$; et selon nous, de $2^{d}\frac{1}{2}$ (*e*). Selon Timocharis, celle de l'épaule suivante d'Orion est à $3^{d}\frac{1}{2}\frac{1}{3}$ de l'équateur vers l'ourse; selon Hipparque, à $4^{d}\frac{1}{3}$; et selon nous, à $5^{d}\frac{1}{4}$. La brillante de la gueule du chien est, selon Timocharis, à $16^{d}\frac{1}{3}$ au midi de l'équateur; selon Hipparque, à 16^{d}; et selon nous, à $15^{d}\frac{1}{2}\frac{1}{4}$. La première des deux brillantes des têtes des gémeaux est, selon Aristylle, plus boréale de (*f*) 33^{d} que l'équateur, selon Hipparque, de $33^{d}\frac{1}{6}$; et selon nous, de $33^{d}\frac{2}{5}$. La suivante est, selon Aristylle, de 30^{d} plus boréale que l'équateur; selon Hipparque, d'autant; et selon nous, de $30^{d}\frac{1}{6}$.

Il est donc prouvé que les distances de ces étoiles à l'équateur, prises en longitude, dans celui des hémisphères que nous avons dit renfermer l'équinoxe

du printemps, sont devenues plus grandes, de l'équateur aux ourses, qu'elles n'étoient auparavant, les plus voisines des points solsticiaux, d'une petite quantité; et celles qui sont près des équinoxes, d'une quantité plus considérable : ce qui est une conséquence du mouvement vers l'orient, suivant l'ordre des constellations, autour des poles de l'oblique, parceque les sections faites en ce sens, suivant cet ordre, sur la moitié de cet oblique, deviennent (*g*) toujours plus étendues vers les ourses, que les précédentes : celles qui sont proches des points équinoxiaux avec des différences plus grandes, et celles qui sont voisines des tropiques, avec des différences plus petites.

Dans l'hémisphère opposé (*h*), Timocharis dit que l'étoile du cœur du lion est de $21^{d}\frac{2}{3}$ plus boréale que l'équateur; selon Hipparque, elle l'est de $20\frac{2}{3}$; et selon nous, de $19^{d}\frac{1}{2}\frac{1}{3}$. Selon Timocharis, l'étoile appelée *épi* est de $1^{d}\frac{2}{5}$ plus boréale (*i*) que l'équateur; selon Hipparque, de $\frac{3}{5}$ seulement; et selon nous, d'un demi degré plus méridionale. La dernière des trois de la queue de la grande ourse à l'extrémité, est, selon Aristylle, plus boréale que l'équateur, de $61^{d}\frac{1}{2}$; selon Hipparque, de $60^{d}\frac{1}{2}\frac{1}{4}$; et selon nous, de $59^{d}\frac{2}{3}$. La seconde, depuis l'extrémité et au milieu de la queue, est, selon Aristylle, plus boréale que l'équateur, de $67^{d}\frac{1}{4}$; selon Hipparque, de $66^{d}\frac{1}{2}$; et selon nous, de 65^{d}. La troisième depuis l'extrémité (*e*), et comme à la naissance de la queue, est, selon Aristylle,

πλάτος πρὸς τὸν ἰσημερινὸν σχέσεις βορειότεραι πᾶσαι τῶν πρὸ χρόνου οὐσῶν γεγόνασιν, αἱ μὲν τῶν πρὸς αὐτοῖς τοῖς τροπικοῖς τμήμασι βραχεῖαι παντελῶς, αἱ δὲ τῶν πρὸς τοῖς ἰσημερινοῖς ἱκανῶς ἀξιολόγῳ, ὅπερ καὶ ἀκόλουθόν ἐστι τῇ περὶ τοὺς τοῦ λοξοῦ πόλους εἰς τὰ ἑπόμενα μεταβάσει, διὰ τὸ καὶ τὰ ἑπόμενα τοῦ ἡμικυκλίου τούτου τμήματα βορειότερα τῶν προηγουμένων ἀεὶ γίγνεσθαι, καὶ τὰ μὲν πρὸς τοῖς ἰσημερινοῖς σημείοις πάλιν ἐν μείζοσι διαφοραῖς, τὰ δὲ πρὸς τοῖς τροπικοῖς ἐν βραχυτέραις.

Καὶ κατὰ τὸ ἐναντίον δὲ ἡμισφαίριον, τὸν μὲν ἐπὶ τῆς καρδίας τοῦ λέοντος Τιμόχαρις μὲν ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ, μοίραις κᾱ γ″, Ἵππαρχος δὲ κ̄ β″, ἡμεῖς δὲ εὑρίσκομεν ιϑ̄ ς″ γ″. Τὸν δὲ καλούμενον σάχυν Τιμόχαρις μὲν ἀναγράφει τοῦ ἰσημερινοῦ μοίρᾳ ᾱ καὶ δυσὶ πέμτοις, Ἵππαρχος δὲ τρισὶ μόνοις πέμπτοις, ἡμεῖς δὲ εὑρίσκομεν νοτιώτερον αὐτὸν ὄντα τοῦ ἰσημερινοῦ, ς″ μιᾶς μοίρας. Τῶν δὲ ἐν τῇ οὐρᾷ τῆς μεγάλης ἄρκτου τριῶν τὸν ἐπ᾽ ἄκρας αὐτῆς Ἀρίσυλλος μὲν ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ, μοίραις ξ̄α ς″, Ἵππαρχος δὲ ξ̄ ς″ δ″, ἡμεῖς δὲ εὑρίσκομεν νϑ̄ β″γ′. Τὸν δὲ δεύτερον ἀπὸ τοῦ ἄκρου καὶ ἐν μέσῃ τῇ οὐρᾷ ὁ μὲν Ἀρίσυλλος ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ, μοίραις ξ̄ζ̄ δ″, ὁ δὲ Ἵππαρχος ξ̄ς̄ ς″, ἡμεῖς δὲ εὑρίσκομεν ξ̄ε̄. Τὸν δὲ τρίτον ἀπὸ τοῦ ἄκρου καὶ ὡς ἐπὶ τῆς ἐκφύσεως τῆς οὐρᾶς Ἀρίσυλλος μὲν

ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ, μοιραῖς ξ̄η̄ ς″, Ιππαρχος δὲ μοίραις ξ̄ζ̄ καὶ τρισὶ πέμπτοις, ἡμεῖς δὲ εὑρίσκομεν ξ̄ δ″. Τὸν δὲ Αρκτοῦρον Τιμόχαρις μὲν ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ, μοίραις λ̄ᾱ ς″, Ιππαρχος δὲ λ̄ᾱ, ἡμεῖς δὲ εὑρίσκομεν κ̄θ̄ ς″ γ″. Τῶν δὲ ἐν ταῖς χηλαῖς τοῦ σκορπίου λαμπρῶν τὸν ἐν ἄκρᾳ τῇ νοτίῳ Τιμόχαρις μὲν ἀναγράφει νοτιώτερον τοῦ ἰσημερινοῦ, μοίραις ε̄, Ιππαρχος δὲ ε̄ καὶ τρισὶ πέμπτοις, ἡμεῖς δὲ εὑρίσκομεν ζ̄ ς″. Τὸν δὲ ἐν ἄκρᾳ τῇ βορείῳ χηλῇ Τιμόχαρις μὲν ἀναγράφει βορειότερον τοῦ ἰσημερινοῦ, μοίρᾳ ᾱ καὶ πέμπτῳ, Ιππαρχος δὲ δυσὶ μόνοις πέμπτοις μιᾶς μοίρας, ἡμεῖς δὲ εὑρίσκομεν αὐτὸν νοτιώτερον τοῦ ἰσημερινοῦ, μοίρᾳ ᾱ. Τὸν δὲ ἐν τῷ σήθει τοῦ σκορπίου λαμπρὸν, καλούμενον δὲ Αντάρην, Τιμόχαρις μὲν ἀναγράφει νοτιώτερον τοῦ ἰσημερινοῦ, μοίραις ῑη̄ γ″, Ιππαρχος δὲ ῑθ̄, ἡμεῖς δὲ εὑρίσκομεν ᾱ̄ δ″.

Καὶ τούτων δὴ πάντων, κατὰ τὴν ἀντικειμένην ἀκολουθίαν, αἱ ὕστεραι πρὸς τὸν ἰσημερινὸν κατὰ πλάτος πάροδοι νοτιώτεραι τῷ ἀναλόγῳ γεγόνασι τῶν πρὸ χρόνου οὐσῶν. Συναχθείη δ' ἂν καὶ δι' αὐτῶν τούτων, ὅτι καὶ ἡ κατὰ μῆκος τῆς τῶν ἀπλανῶν σφαίρας εἰς τὰ ἑπόμενα παραχώρησις, μιᾶς μὲν γίνεται μοίρας, ὡς προείπομεν, ἐν τοῖς ἑκατὸν ἔτεσιν ἔγγισα, β̄ καὶ β′′ μοιρῶν ἐν τοῖς μεταξὺ σξ̄ ἔτεσι τῆς τοῦ Ιππάρχου καὶ τῆς ἡμῶν τηρήσεως, καὶ μάλισα διὰ τῆς τῶν πρὸς τοῖς ἰσημερινοῖς σημείοις εὑρημένης πλατικῆς διαφορᾶς.

de (*j*) 68^{d} $\frac{1}{2}$ plus boréale; selon Hipparque, de 67^{d} $\frac{1}{5}$; et selon nous de 66^{d} $\frac{1}{4}$. Timocharis fait Arcturus plus boréal que l'équateur, de 31^{d} $\frac{1}{2}$; Hipparque, de 31^{d}; et nous, de 29^{d} $\frac{1}{2}$ $\frac{1}{3}$. Parmi les brillantes des serres du scorpion, celle qui est à l'extrémité de la serre méridionale (*α*), a été trouvée par Timocharis, de 5$'$ (*k*) plus méridionale que l'équateur; par Hipparque, de 5^{d} $\frac{1}{5}$; et par nous, de 7^{d} $\frac{1}{6}$. Celle qui est à l'extrémité de la serre boréale, a été trouvée par Timocharis, de 1^{d} $\frac{1}{5}$ (*l*) plus boréale que l'équateur; par Hipparque, de $\frac{2}{5}$ de degré seulement; et par nous, de 1^{d} plus méridionale. La brillante de la poitrine du scorpion, nommée *Antarès*, a été vue par Timocharis, de 18^{d} $\frac{1}{3}$ plus méridionale que l'équateur; par Hipparque, de 19^{d}; et par nous, de 20^{d} $\frac{1}{4}$.

Ainsi donc, par une conséquence contraire, ces dernières latitudes, relativement à l'équateur, sont devenues, à proportion, plus australes qu'elles n'étoient auparavant. On en conclura que la progression de la sphère des étoiles fixes, suivant la succession des constellations en longitude est, comme nous l'avons déjà dit, d'un degré en cent ans à peu près, et qu'elle monte à 2^{d} $\frac{2}{3}$ pour les 265 ans, depuis l'observation d'Hipparque jusqu'à la nôtre. Cela se prouve surtout par la différence trouvée dans leur latitude, relativement aux points équinoxiaux.

En effet, le milieu de la pléïade avoit été trouvé par Hipparque, de $15^d \frac{1}{6}$ plus boréal que l'equateur, et nous l'avons trouvé de $16^d \frac{1}{4}$. Il est ainsi devenu plus boréal de $1 \frac{1}{12}$ (*m*), dans l'intervalle de temps entre nous deux : grandeur de la différence en déclinaison, des dernières étoiles du bélier, relativement à l'équateur, produite par le mouvement de $2^d \frac{2}{3}$ du cercle oblique, en longitude, selon l'ordre des signes, pendant cet intervalle de temps. L'étoile appelée la *chèvre*, trouvée par Hipparque, de $40^a \frac{2}{5}$ plus boréale que l'équateur, et par nous de $41^d \frac{1}{6}$, est devenue plus boréale de $\frac{4}{5}$ d'un degré, différence encore de distance à l'équateur, qui est pour les étoiles du milieu du taureau, l'effet de la progression de $2^d \frac{2}{3}$ suivant la série des constellations zodiacales. L'étoile de l'épaule précédente d'Orion, qu'Hipparque avoit trouvée de $1^d \frac{4}{5}$ plus boréale que l'équateur, et nous de $2^d \frac{1}{2}$ (*n*), est donc devenue plus boréale de $\frac{2}{3}$ d'un degré, à peu près : quantité dont les $2^d \frac{2}{3}$ de mouvement en longitude, ont fait différer en latitude (*en déclinaison*) relativement à l'équateur, les étoiles placées aux $\frac{2}{3}$ du taureau.

De même, dans l'hémisphère opposé (*o*), l'épi qu'Hipparque avoit trouvé de $\frac{3}{5}$ d'un degré, plus boréal, et que nous avons trouvé de $\frac{1}{2}$ degré plus austral que l'équateur, est donc devenu plus méridional de $1 \frac{1}{10}$ degré, qu'il n'étoit, différence en déclinaison dans les étoiles de la fin de la vierge, proportionnelle aux $2^d \frac{2}{3}$ de mouvement en longitude. L'étoile

Τὸ μὲν γὰρ τῆς πλειάδος μέσον, κατὰ μὲν τὸν Ιππαρχον, βορειότερον εὑρημένον τοῦ ἰσημερινοῦ, μοίραις ιε̄ καὶ ς″, κατὰ δὲ ἡμᾶς μοίραις ις̄ καὶ δ″, μιᾷ μοίρᾳ καὶ ιβ″ γέγονε βορειότερον ἐν τῷ μεταξὺ ἡμῶν χρόνῳ, ὅσον σχεδὸν ἐν τῷ πρὸς τὸν ἰσημερινὸν πλάτει διαφέρουσιν αἱ β̄ β″γ̄ μοῖραι τοῦ διὰ μέσων, αἱ περὶ τὰ τελευταῖα τοῦ κριοῦ, τῆς ἐν τῷ αὐτῷ χρόνῳ κατὰ μῆκος εἰς τὰ ἑπόμενα παραχωρήσεως. Ο δὲ καλούμενος αἴξ κατὰ μὲν τὸν Ιππαρχον βορειότερος εὑρημένος τοῦ ἰσημερινοῦ, μοίραις μ̄ καὶ δυσὶ πέμπτοις, κατὰ δὲ ἡμᾶς μᾱ ς″, βορειότερος γέγονε μιᾶς μοίρας τέσσαρσι πέμπτοις, ὅσῳ πάλιν πρὸς τὸν ἰσημερινὸν κατὰ πλάτος διαφέρουσιν αἱ περὶ τὰ μέσα τοῦ ταύρου β̄ β″γ̄ μοῖραι, τοῦ διὰ μέσων. Ο δ' ἐπὶ τοῦ ἡγουμένου ὤμου τοῦ Ωρίωνος κατὰ μὲν τὸν Ιππαρχον εὑρημένος βορειότερος τοῦ ἰσημερινοῦ, μοίρᾳ ᾱ καὶ τέσσαρσι πέμπτοις, καθ' ἡμᾶς δὲ δυσὶ μοίραις καὶ ς″, βορειότερος γέγονε δυσὶ μέρεσι μιᾶς μοίρας ἐγγισα, ὅσῳ σχεδὸν κατὰ τὸ πρὸς τὸν ἰσημερινὸν πλάτος διαφέρουσιν αἱ μετὰ τὰ δύο μέρη τοῦ ταύρου β̄ β″γ̄ μοῖραι τοῦ διὰ μέσων.

Ωσαύτως δὲ καὶ κατὰ τὸ ἀντικείμενον ἡμισφαίριον, ὁ μὲν στάχυς κατὰ μὲν τὸν Ιππαρχον εὑρημένος βορειότερος τοῦ ἰσημερινοῦ, μιᾶς μοίρας τριὰ πέμπτοις, καθ' ἡμᾶς δὲ νοτιώτερος ἡμίσει μιᾶς μοίρας, νοτιώτερος γέγονε μιᾶ μοίρᾳ καὶ ι″, ὅσῳ πάλιν κατὰ τὸ πρὸς τὸν ἰσημερινὸν πλάτος διαφέρουσιν αἱ περὶ τὰ τελευταῖα τῆς παρθένου β̄ β″γ̄ μοῖραι

τοῦ διὰ μέσων. Ὁ δ' ἐν ἄκρᾳ τῇ οὐρᾷ τῆς μεγάλης ἄρκτου, κατὰ μὲν τὸν Ἱππαρχον εὑρημένος βορειότερος τοῦ ἰσημερινοῦ, μοίραις ξ̄ καὶ ς'' καὶ δ'', καθ' ἡμᾶς δὲ μοίραις νθ̄ καὶ β''', νοτιώτερος γέγονε μιᾷ μοίρᾳ καὶ ιβ'', ὅσῳ κατὰ τὸ πρὸς τὸν ἰσημερινὸν πλάτος διαφέρουσιν αἱ περὶ τὰ πρῶτα μέρη τοῦ τῶν χηλῶν δωδεκατημορίου β̄ β''' μοῖραι τοῦ διὰ μέσων. Ὁ δὲ Ἀρκτοῦρος κατὰ μὲν τὸν Ἱππαρχον εὑρημένος βορειότερος τοῦ ἰσημερινοῦ μοίραις λᾱ, καθ' ἡμᾶς δὲ μοίραις κθ̄ ς'' γ'', νοτιώτερος γέγονε μιᾷ μοίρᾳ καὶ ς'', ὅσῳ διαφέρουσιν ἔγγιστα κατὰ τὸ πρὸς τὸν ἰσημερινὸν πλάτος ὡσαύτως αἱ περὶ τὰ πρῶτα μέρη τῶν χηλῶν β̄ β''' μοῖραι τοῦ διὰ μέσων. Γένοιτο δ' ἂν ἡμῖν ἔτι καταφανέστερον τὸ προκείμενον καὶ ἐκ τῶν τοιούτων τηρήσεων.

Τιμόχαρις μὲν ἀναγράφει τηρήσας ἐν Ἀλεξανδρείᾳ ταῦτα, διότι τῷ μ̄ζ̄ ἔτει τῆς πρώτης κατὰ Κάλιππον ἐξ καὶ ἑβδομηκονταετηρίδος τῇ η̄ τοῦ Ἀνθεστηριῶνος, κατ' Αἰγυπτίους τῇ κθ̄ τοῦ Ἀθὺρ, ὥρας γ̄ λαγούσης, τὸ νότιον μέρος ἥμισυ τῆς σελήνης ἐπιβεβηκὸς ἐφαίνετο ἐπὶ τὸ ἑπόμενον ἤτοι γ'' ἢ ς'' μέρος τῆς πλειάδος ἀκριβῶς. Καὶ ἔστιν ὁ χρόνος κατὰ τὸ υξ̄ε̄ ἔτος ἀπὸ Ναβονασάρου, κατ' Αἰγυπτίους Ἀθὺρ κθ̄ η̄ εἰς τὴν λ̄ η̄, πρὸ γ̄ ὡρῶν τοῦ μεσονυκτίου καιρικῶν, ἰσημερινῶν δὲ γ̄ κ̣γ'', διὰ τὸ τὸν ἥλιον περὶ τὰς ζ̄ μοίρας εἶναι τοῦ ὑδροχόου, καὶ πρὸς τὰ ὁμαλὰ νυχθήμερα σχεδὸν πρὸ τοσούτων πάλιν ὡρῶν τοῦ μεσονυκτίου συνάγεται ὁ χρόνος. Κατ' αὐτὴν δὲ τὴν ὥραν ἀκριβῶς μὲν ἐπεῖχεν

de l'extrémité de la queue de la grande ourse (η) trouvée du temps d'Hipparque, de $60^d \frac{1}{2} \frac{1}{4}$ plus boréale que l'équateur, mais de notre temps, de $59^d \frac{2}{3}$, est donc devenue plus méridionale de $1^d \frac{1}{12}$, différence en latitude, relativement à l'équateur, arrivée aux étoiles placées au commencement du signe des serres, par l'effet des $2^d \frac{2}{3}$ de mouvement en longitude. Arcturus étoit du temps d'Hipparque, de 31^d plus boréal que l'équateur, actuellement il l'est de $29^d \frac{1}{2} \frac{1}{3}$. Il est donc devenu de $1^d \frac{1}{6}$ plus méridional qu'il n'étoit : quantité à peu près égale à la différence de distance à l'équateur produite (*depuis Hipparque jusqu'à nous*), dans les étoiles des premières parties des serres, par le mouvement de $2^d \frac{2}{3}$ de l'oblique : mouvement qui nous sera encore mieux démontré par les observations suivantes.

Timocharis rapporte qu'observant à Alexandrie, dans la 47e année de la 1re période de Calippe de 76 (*p*) ans, le 8 du mois Anthestérion, ou le 29 du mois égyptien Athyr, à la fin de la troisième heure, la moitié méridionale de la lune lui parut s'être avancée vers l'orient sur le tiers ou la moitié des pléïades, lieu vrai. Or, cette observation est de la 465e année de l'ère de Nabonassar, à 3^h temporaires avant minuit du 29 au 30 Athyr égyptien, mais à $3^h \frac{1}{5}$ équinoxiales en temps moyen, parceque le soleil étoit alors au 7^d du verseau, et qu'à ce nombre d'heures avant minuit (*q*), c'est là le temps évalué en nychthémères égaux. Mais le lieu vrai de la lune étoit à cette heure-là,

suivant les hypothèses que nous avons démontrées ci-dessus, sur 20′ du taureau, c'est-à-dire, à 30ᵈ 20′ de l'équinoxe du printemps, et de 3ᵈ 45′ plus boréal que l'oblique. Mais elle paroissoit (*r*) à Alexandrie, occuper les 29ᵈ 20′ du bélier en longitude, et de 3ᵈ 35′ plus boréale que le mitoyen du zodiaque, puisque les $\frac{2}{3}$ des gémeaux passoient alors au méridien : l'extrémité suivante (*ou orientale*) de la pléïade, étoit donc alors d'environ 29ᵈ $\frac{1}{2}$ plus avancée en longitude, suivant l'ordre des signes, que l'équinoxe du printemps, vu que le centre de la lune la précédoit encore et étoit de 3ᵈ $\frac{2}{3}$ environ plus boréal que l'oblique, car cette extrémité n'étoit alors qu'un peu plus boréale que le centre de la lune (*s*).

Agrippa, qui a observé en Bithynie, rapporte que dans la douzième année de Domitien, le septième jour du mois Metroüs de ce pays, au commencement de la troisième heure de la nuit, la lune cacha par sa corne méridionale, la partie méridionale et suivante de la pléïade. Or, ce temps, qui est de la 840ᵉ année de l'ère de Nabonassar, tombe à 4 heures temporaires avant minuit du 2 au 3 du mois égyptien Tubi, ou cinq heures équinoxiales avant minuit, à cause que le soleil étoit au 5ᵉ degré du sagittaire. L'observation réduite (*t*) au méridien d'Alexandrie, s'est donc faite à 5 $\frac{1}{3}$ heures équinoxiales, ou à 5 heures $\frac{1}{2}\frac{1}{4}$ (*u*), temps moyen, lorsque le centre de la lune étoit vraiment sur les 3ᵈ 7′ du taureau, et plus boréal de 4ᵈ $\frac{1}{2}\frac{1}{3}$ que le cercle mitoyen du zodiaque. Il paroissoit en Bithynie occuper en longitude les 3ᵈ 15′ du taureau, et plus boréal de 4ᵈ que ce mitoyen du zodiaque,

ἡ σελήνη, κατὰ τὰς προαποδεδειγμένας ἡμῖν ὑποθέσεις, ταύρου μοίρας ὃ κ′, τουτέστιν ἀπεῖχε τῆς ἐαρινῆς ἰσημερίας, μοίρας λ̄ κ′, καὶ βορειοτέρα τοῦ διὰ μέσων ἦν, μοίραις γ̄ με̄· ἐφαίνετο δ' ἐν Ἀλεξανδρείᾳ, κατὰ μῆκος μὲν ἐπέχουσα κριοῦ μοίρας κθ̄ κ′, βορειοτέρα δὲ τοῦ διὰ μέσων μοίραις γ̄ λε′, ἐπειδήπερ ἐμεσουράνει τὰ δύο μέρη τῶν διδύμων· τὸ ἄρα ἑπόμενον πέρας τῆς πλειάδος ἀπεῖχε τότε τῆς ἐαρινῆς ἰσημερίας εἰς τὰ ἑπόμενα, μοίραις κθ̄ ς″ ἔγγιστα, ἐπειδὴ ἔτι αὐτοῦ προηγεῖτο τὸ κέντρον τῆς σελήνης, καὶ βορειότερον δὲ ἦν τοῦ διὰ μέσων μοίραις γ̄ β′ ἔγγιστα· μικρῷ γὰρ πάλιν βορειότερον ἦν τοῦ κέντρου τῆς σελήνης.

Ἀγρίππας δὲ, ἐν Βιθυνίᾳ τηρήσας, ἀναγράφει ὅτι τῷ ιβ̄ᵠ ἔτει Δομετιανοῦ, κατ' αὐτοὺς Μητρώου ζ̄, νυκτὸς ὥρας γ̄ᵃᵉ ἀρχούσης, ἡ σελήνη ἐπεκάλυψε τῷ νοτίῳ κέρατι τὸ ἑπόμενον καὶ νότιον μέρος τῆς πλειάδος. Καὶ ἔστιν ὁ χρόνος κατὰ τὸ ωμ̄ᵒᵛ ἔτος ἀπὸ Ναβονασάρου, κατ' Αἰγυπτίους Τυβὶ β̄ᵃ εἰς τὴν γ̄ᵂ, πρὸ δὲ μέν ὡρῶν καιρικῶν τοῦ μεσονυκτίου, πρὸ ε̄ δὲ ἰσημερινῶν, διὰ τὸ τὸν ἥλιον περὶ τὰς ε̄ μοίρας εἶναι τοῦ τοξότου· πρὸς τὸν δι' Ἀλεξανδρείας ἄρα μεσημβρινὸν γέγονεν ἡ τήρησις πρὸ ε̄ καὶ γ″ ὡρῶν ἰσημερινῶν τοῦ μεσονυκτίου, πρὸς δὲ τὰ ὁμαλὰ νυχθήμερα πρὸ ε̄ ς″ δ″, καθ' ὃν χρόνον τὸ κέντρον τῆς σελήνης ἀκριβῶς μὲν ἐπεῖχε ταύρου μοίρας γ̄ ζ′, καὶ βορειότερον ἦν τοῦ διὰ μέσων, μοίραις δ̄ ς″ γ″· ἐφαίνετο δὲ ἐν Βιθυνίᾳ κατὰ μῆκος μὲν ἐπέχον ταύρου μοίρας γ̄ ιε′, βορειότερον δὲ τοῦ διὰ μέσων

μοίραις δ', διὰ τὸ μεσουρανεῖν τὰ β'' μέρη τῶν ἰχθύων· τὸ ἄρα ἑπόμενον μέρος τῆς πλειάδος τότε κατὰ μῆκος μὲν ἀπεῖχε τῆς ἐαρινῆς ἰσημερίας εἰς τὰ ἑπόμενα μοίραις λγ̄ δ'', βορειότερον δ' ἦν τοῦ διὰ μέσων μοίραις γ̄ β''. Ὥστε φανερὸν ὅτι τὸ ἑπόμενον μέρος τῆς πλειάδος, κατὰ μὲν τὸ πλάτος, βορειότερον ἦν τοῦ διὰ μέσων, καὶ τότε καὶ νῦν, ταῖς αὐταῖς μοίραις γ̄ καὶ β̄ κατὰ τὸν διὰ τῶν πόλων αὐτοῦ γραφόμενον μέγιστον κύκλον, κατὰ δὲ τὸ μῆκος εἰς τὰ ἑπόμενα κεκίνηται τῆς ἐαρινῆς ἰσημερίας μοίραις γ̄ με', διὰ τὸ κατὰ μὲν τὴν πρωτέραν τήρησιν ἀπέχειν αὐτῆς μοίρας κθ̄ ς'', κατὰ δὲ τὴν δευτέραν μοίρας λγ̄ δ'', τοῦ μεταξὺ τῶν δύο τηρήσεων χρόνου περιέχοντος ἔτη τοε̄. Καὶ ἐν τοῖς ρ̄ ἄρα ἔτεσι μίαν μοῖραν εἰς τὰ ἑπόμενα κεκίνηται τὸ ἑπόμενον τῆς πλειάδος.

Πάλιν Τιμόχαρις μὲν ἀναγράφει, τηρήσας ἐν Αλεξανδρείᾳ, διότι τῷ λς̄ ἔτει τῆς πρώτης κατὰ Κάλιππον περιόδου, τοῦ μὲν Ελαφηβολιῶνος τῇ ιε̄η, τοῦ δὲ Τυβὶ τῇ ε̄η, ὥρας γ̄ης ἀρχομένης, ἡ σελήνη μέσῃ τῇ πρὸς τὴν ἰσημερινὴν ἀνατολὴν ἀψίδι τὸν στάχυν κατέλαβε, καὶ διῆλθεν ὁ στάχυς ἀφαιρῶν αὐτῆς τῆς διαμέτρου πρὸς ἄρκτους τὸ γ'' μέρος ἀκριβῶς· καὶ ἔστιν ὁ χρόνος κατὰ τὸ υνδ̄ ἔτος ἀπὸ Ναβονασάρου, κατ' Αἰγυπτίους Τυβὶ ε̄η εἰς τὴν ς̄ην πρὸ δ̄ ὡρῶν καιρικῶν τε καὶ ἰσημερινῶν ἔγγιστα τοῦ μεσονυκτίου, διὰ τὸ τὸν ἥλιον περὶ τὰς ιε̄ μοίρας εἶναι τῶν ἰχθύων· πρὸ τοσούτων δὲ σχεδὸν ὡρῶν συνάγει καὶ ἡ πρὸς τὰ ὁμαλὰ νυχθήμερα διάκρισις· κατ' ἐκείνην δὲ τὴν ὥραν ἀκριβῶς μὲν

parcequ'en cet instant les $\frac{2}{3}$ (ν) des poissons, passoient au méridien. Par conséquent la portion suivante ou orientale de la pléïade étoit alors à $33^d \frac{1}{4}$ en longitude, loin de l'équinoxe du printemps, et plus boréale de $3^d \frac{2}{3}$ que le mitoyen. Il est donc clair que la portion orientale de la pléïade étoit, par sa latitude, plus boréale que l'oblique; qu'elle en étoit éloignée, dans la seconde comme dans la première observation, de $3^d \frac{2}{3}$ comptés sur le grand cercle qui passe par les poles de cet oblique, et qu'elle s'étoit avancée vers l'orient de 3^d 45′ en longitude, depuis l'équinoxe du printemps, puisque, lors de la première observation, elle en étoit éloignée de $29^d \frac{1}{2}$, et lors de la seconde, de $33^d \frac{1}{4}$, l'intervalle de ces deux observations embrassant un espace de 375 ans. D'où il suit qu'en 100 ans, la portion orientale de la pléïade s'est avancée d'un degré dans l'ordre des signes.

Timocharis rapporte encore qu'il a vu à Alexandrie, dans la 36e année de la première période de Calippe, le 15 du mois Élaphebolion, ou le 5 de Tubi, au commencement de la 3e heure, la lune atteindre par le milieu de la courbure de son disque (x), vers le levant équinoxial, l'épi qui passa derrière elle, en coupant le tiers juste de son diamètre vers les ourses. Or ce temps coïncide à la 454e année de l'ère de Nabonassar, à 4h temporaires et équinoxiales, à très-peu près, avant minuit du 5 au 6 du mois égyptien Tubi, parce que le soleil étoit alors dans la 15e partie (*degré*) des poissons, et qu'alors le calcul du temps moyen mène au même résultat à fort peu près (y). Or, en ce moment, le lieu vrai du centre de la

lune étoit sur 21^{d} 21′ de la vierge en longitude, c'est-à-dire qu'il étoit éloigné du point tropique (*solstice*) d'été, de 81^{d} 21′ vers l'orient, et qu'il étoit de 1^{d} $\frac{1}{2}$ $\frac{1}{3}$ plus méridional (*z*) que l'oblique. Mais il paroissoit à 82^{d} 20′ loin du point tropique d'eté, en longitude, et d'environ 2 degrés plus méridional que l'oblique ; car alors le milieu du cancer, passoit au méridien. Donc l'épi, d'après ce que j'ai dit, étoit par sa longitude à 82^{d} $\frac{1}{3}$ loin du point tropique d'été, et plus méridional de 2 degrés au plus, que l'oblique mitoyen du zodiaque.

Il dit aussi que dans la 48e année de la même période, à la fin du 6 du mois Pyanepsion, ou le 7 de Thoth, à 10^{h} $\frac{1}{2}$ passées, la lune s'étant levée de l'horizon, l'épi parut alors exactement toucher le bord boréal de cet astre. Or le temps de cette observation tombe à la 466e année (*aa*) de Nabonassar, à 3^{h} $\frac{1}{2}$ temporaires après minuit du 7 au 8 du mois égyptien Thoth, comme il s'exprime (*bb*), ou à peu près à 3^{h} $\frac{1}{8}$ équinoxiales, le soleil étant alors au milieu du scorpion. Et par conséquent cela est arrivé à 2 heures $\frac{1}{2}$ (*cc*) après minuit ; car à ce nombre d'heures équinoxiales après minuit, les 22^{d} $\frac{1}{2}$ des gémeaux passent au méridien, et il se lève à peu près autant des degrés de la vierge ; la lune, selon Timocharis, étant alors par sa longitude, lorsqu'elle se leva, sur les 22^{d} $\frac{1}{2}$ (*dd*) de la vierge. Nous ne trouvons que 2 heures équinoxiales après minuit, en réduisant en nycthémères égaux (*tems moyen*) : instant où le lieu vrai du centre de la lune étoit à

πάλιν ἐπεῖχε τὸ κέντρον τῆς σελήνης, κατὰ μῆκος, παρθένου μοίρας κᾱ κά, τουτέστιν ἀπεῖχε τῆς θερινῆς τροπῆς εἰς τὰ ἑπόμενα μοίρας πᾱ κά, καὶ νοτιώτερον ἦν τοῦ διὰ μέσων, μοίρᾳ ᾱ καὶ ς″ καὶ γ″. ἐφαίνετο δὲ κατὰ μῆκος μὲν ἀπέχον τοῦ θερινοῦ τροπικοῦ, μοίρας πβ γ″, νοτιώτερον δὲ τοῦ διὰ μέσων μοίραις β̄ ἔγγιστα· ἐμεσουράνει γὰρ τὰ μέσα τοῦ καρκίνου· καὶ ὁ σάχυς ἄρα, διὰ τὰ προειρημένα, κατὰ μῆκος μὲν ἀπεῖχε τότε τῆς θερινῆς τροπῆς, μοίρας πβ γ″, νοτιώτερος δ' ἦν τοῦ διὰ μέσων δυσὶ μάλιστα μοίραις.

Καὶ ἐν τῷ μη$^{\overline{\varphi}}$ δὲ ἔτει τῆς αὐτῆς περιόδου, φησὶν ὁμοίως ὅτι, τοῦ μὲν Πυανεψιῶνος τῇ ε$^{\overline{\eta}}$ φθίνοντος, τοῦ δὲ Θὼθ τῇ ζ$^{\overline{\eta}}$ τῆς ι$^{\overline{\eta}}$ ὥρας ὅσον ἡμιωρίου προελθόντος, ἐκ τοῦ ὁρίζοντος ἀνατεταλκυίας τῆς σελήνης, ὁ σάχυς ἐφαίνετο ἁπτόμενος αὐτοῦ τοῦ βορείου ἀκριβῶς· καὶ ἔστιν ὁ χρόνος κατὰ τὸ υξε$^{\overline{ον}}$ ἔτος ἀπὸ Ναβονασάρου, κατ' Αἰγυπτίους Θὼθ ζ$^{\overline{η}}$ εἰς τὴν η$^{\overline{ν}}$, ὡς μὲν αὐτός φησι, μετὰ γ̄ ς″ ὥρας καιρικὰς τοῦ μεσονυκτίου, ἰσημερινὰς δὲ γ̄ η″ ἔγγιστα, διὰ τὸ τὸν ἥλιον περὶ τὰ μέσα εἶναι τοῦ σκορπίου, ὡς δ' ἀκόλουθόν ἐστι μετὰ β̄ ς″· μετὰ τοσαύτας γὰρ ὥρας ἰσημερινὰς τοῦ μεσονυκτίου μεσουρανοῦσι μὲν αἱ τῶν διδύμων κβ̄ ς″ μοῖραι, ἀνατέλλουσι δὲ αἱ ἴσαι σχεδὸν τῆς παρθένου, ὅσας ἐπ-. ἔχουσα καὶ ἡ σελήνη τότε, ὡς φησιν, ἀνέτελλε· καὶ πρὸς τὰ ὁμαλὰ δὲ νυχθήμερα, δύο μόνας ὥρας ἰσημερινὰς ἐπιλαμβανομένας εὑρίσκομεν τῷ μεσονυκτίῳ· καθ' ὃν χρόνον ἀκριβῶς μὲν πάλιν ἀπεῖχε τὸ κέντρον τῆς σελήνης τῆς θερινῆς τροπῆς, μοίρας

πᾱ λ′, καὶ νοτιώτερον ἦν τοῦ διὰ μέσων μοίραις β̄ ς″· ἐφαίνετο δὲ κατὰ μῆκος μὲν ἀπέχον μοίρας πβ̄ ς″, νοτιώτερον δὲ μοίραις β̄ δ″. Καὶ ὁ στάχυς ἄρα καὶ διὰ ταύτης τῆς τηρήσεως νοτιώτερος μὲν πάλιν ἦν τοῦ διὰ μέσων ταῖς αὐταῖς δυσὶ μοίραις ἔγγισα· ἀπεῖχε δὲ τῆς θερινῆς τροπῆς τὰς πβ̄ ς″ μοίρας, ἐν τοῖς ιβ̄ ἔτεσι τοῖς μεταξὺ τῶν δύο τηρήσεων ς″ ἔγγισα κεκίνηται μιᾶς μοίρας εἰς τὰ ἑπόμενα τῆς θερινῆς τροπῆς.

Μενέλαος δὲ ὁ γεωμέτρης ἐν Ρώμῃ φησὶ τετηρῆσθαι τῷ ᾱ ἔτει Τραϊανοῦ, Μεχὶρ ιε̄ᵑ εἰς τὴν ις̄ᵛⁿ, ὥρας ῑ πεπληρωμένης, τὸν στάχυν ὑπὸ τῆς σελήνης ἠφανισμένον· μὴ ὁρᾶσθαι γὰρ, ἀλλ᾽ ὥρας ιᾱ ληγούσης τεθεωρῆσθαι προηγούμενον τοῦ κέντρου τῆς σελήνης, ἔλαττον τῆς διαμέτρου αὐτῆς, ἴσον ἀπέχοντα τῶν κεράτων· καὶ ἔστιν ὁ χρόνος κατὰ τὸ ωμε̄ ἔτος ἀπὸ Ναβονασάρου, κατ᾽ Αἰγυπτίους Μεχὶρ ιε̄ᵑ εἰς τὴν ις̄ᵛⁿ μετὰ δ̄ ὥρας καιρικὰς τοῦ μεσονυκτίου, ὅτε τὸ κέντρον αὐτῆς ἔγγισα κατειλήφει τὸν στάχυν, ἰσημερινὰς δὲ ε̄, διὰ τὸ τὸν ἥλιον εἶναι περὶ τὰς κ̄ μοίρας τοῦ αἰγόκερω, καὶ πρὸς μὲν τὸν δι᾽ Αλεξανδρείας μεσημβρινὸν μετὰ ε̄ γ″, πρὸς δὲ τὰ ὁμαλὰ νυχθήμερα μετὰ ε̄ δ″, ἢ μικρῷ πλεῖον, καθ᾽ ἣν ὥραν ἀκριβῶς μὲν ἀπεῖχε τὸ κέντρον τῆς σελήνης τῆς θερινῆς τροπῆς μοίρας πε̄ ς″ δ″, καὶ νοτιώτερον ἦν τοῦ διὰ μέσων μιᾷ μοίρᾳ καὶ γ″ ἔγγισα. Εφαίνετο δὲ κατὰ μῆκος μὲν ἀπέχον μοίρας πς̄ δ″, νοτιώτερον δὲ β̄ μοίρας, διὰ τὸ μεσουρανεῖν τὸ τέταρτον μάλιστα μέρος τῶν χηλῶν. Ταύτην ἄρα

81ᵈ 30′ loin du point tropique d'été, et de 2ᵈ $\frac{1}{6}$ plus méridional que le cercle mitoyen du zodiaque. Or, il paroissoit éloigné en longitude de 82ᵈ $\frac{1}{2}$, et de 2ᵈ $\frac{1}{4}$ plus méridional. Il suit donc de cette observation, que l'épi étoit plus méridional que l'oblique, de 2 degrés à peu près, et qu'étant à 82 degrés $\frac{1}{2}$ loin du point tropique d'été, il s'étoit avancé en longitude à l'orient de ce point, de $\frac{1}{6}$ degré environ, dans les 12 années d'intervalle entre les deux observations.

Le géomètre Ménélas dit avoir observé (*ee*) à Rome, dans la première année de Trajan, la nuit du 15 au 16 Méchir, à 10 heures passées, l'épi caché par la lune; car, dit-il, on ne le voyoit pas alors : mais à 11 heures finissant, on l'apperçut précédant le centre de la lune, à une distance de ses cornes, moindre qu'un diamètre de cet astre. Or la première année de Trajan est la 845ᵉ année de l'ère de Nabonassar : l'observation s'est donc faite à 4 heures temporaires après minuit du 15 au 16 du mois égyptien Méchir, lorsque le centre de la lune étoit à peu près sur l'épi, et à 5 heures équinoxiales, parceque le soleil étoit alors sur le 20ᵉ degré du capricorne, et à 6ʰ $\frac{1}{3}$ au méridien d'Alexandrie (*ff*), mais à 6ʰ $\frac{1}{4}$ ou un peu plus en temps moyen : instant où le centre de la lune étoit à 85ᵈ $\frac{1}{2}$ $\frac{1}{4}$ loin du point tropique d'été, et d'environ 1ᵈ $\frac{1}{3}$ plus méridional que l'oblique. Et comme il paroissoit dans la longitude de 86ᵈ $\frac{1}{4}$, et de 2 degrés plus méridional que l'oblique, parceque le quart tout au plus (*gg*) des serres passoit au méridien, il s'ensuit qu'alors l'épi avoit cette même position. Or il est

évident par les observations de Timocharis et les nôtres, que l'épi étoit bien à la vérité toujours plus méridional que l'oblique, d'autant, c'est-à-dire de deux degrés (*hh*), mais qu'il s'étoit avancé en longitude, vers le levant, depuis l'observation faite dans la 36e année, de 3d 55′ pendant les 391 ans d'intervalle, et depuis l'observation de la 48e année, de 3d 45′ pendant les 379 années d'intervalle. Il résulte donc de ces observations, que la progression de l'épi vers l'orient ou suivant l'ordre des constellations, a été d'environ un degré en cent ans.

Timocharis rapportant encore une autre observation qu'il a faite à Alexandrie, dit que la 36e année de la première période de Calippe, le 25 du mois Poseideon (*ii*), ou le 16 du mois Phaophi, au commencement de la dixième heure, la lune paroissoit avoir atteint par sa courbure boréale, l'étoile la plus boréale du front du scorpion. Or, cette observation revient à l'année 454 de l'ère de Nabonassar, à 3 heures temporaires après minuit, du 16 au 17 du mois égyptien Phaophi, ou à 3 $\frac{1}{5}$ heures équinoxiales, (*kk*) parceque le soleil étoit alors dans la 26e partie du sagittaire, et en nycthémères égaux à 3h $\frac{1}{6}$, instant où le centre de la lune étoit à 31d $\frac{1}{4}$ loin de l'équinoxe d'automne, et de 1d $\frac{1}{3}$ plus boréal que le cercle mitoyen du zodiaque. Et comme il paroissoit à 32d de longitude, et de 1d 12′ plus boréal que le cercle mitoyen du zodiaque, à cause que le milieu du lion passoit alors au méridien, il s'ensuit que la longitude de la plus boréale des étoiles du front du scorpion

καὶ ὁ σάχυς εἶχε τότε τὴν θέσιν· καὶ δῆλον ὅτι τῷ ἴσῳ μὲν πάλιν κατὰ Τιμόχαριν καὶ καθ' ἡμᾶς νοτιώτερος ἦν τοῦ διὰ μέσων, τουτέστι ταῖς $\bar{\beta}$ μοίραις· κατὰ μῆκος δὲ εἰς τὰ ἑπόμενα παρακεχώρηκεν, ἀπὸ μὲν τῆς κατὰ τὸ λ$\bar{\varsigma}^{ον}$ ἔτος τηρήσεως, μοίρας $\bar{\gamma}$ νέ, τῶν μεταξὺ ἐτῶν ὄντων τζ$\bar{\alpha}$· ἀπὸ δὲ τῶν κατὰ τὸ μ$\bar{\eta}^{ον}$ ἔτος, μοίρας $\bar{\gamma}$ με′, τῶν μεταξὺ ἐτῶν ὄντων τοε$\bar{}$· ὡς καὶ ἐκ τούτων τὴν τῶν $\bar{\rho}$ ἐτῶν εἰς τὰ ἑπόμενα τοῦ σάχυος παραχώρησιν μιᾶς ἔγγισα συνάγεσθαι μοίρας.

ἕτερον, ἀφ' οὗ τῆς μιᾶς τῶν πρὸς τὸν πρῶτον τομῶν ἀρξάμενοι, διελοῦμεν τὸν διὰ μέσων εἰς τὰ τξ̄ τμήματα, παρατιθέντες αὐτῷ τοὺς ἀριθμοὺς, δι' ὅσων ἂν εὔχρηστον φαίνηται μοιρῶν. Επειτα ποιήσαντες ἐξ ὕλης εὐτόνου καὶ τεταμένης δύο κύκλους τετραγώνους ταῖς ἐπιφανείαις, καὶ ἀκριβῶς πάντοθεν τετορνευμένους, τῶν μὲν ἐλάσσονα καὶ ἐφαπτόμενον τῆς σφαίρας δι' ὅλης αὐτοῦ τῆς κοίλης ἐπιφανείας, τὸν δὲ μικρῷ τούτου μείζονα, παραγράψομεν κατὰ μέσης τῆς κυρτῆς ἐπιφανείας ἑκατέρου γραμμὰς δίχα διαιρούσας ἀκριβῶς αὐτῶν τὰ πλάτη· καὶ διὰ τούτων τῶν γραμμῶν, ἐκτεμόντες ἐπὶ τὸ ἥμισυ τῶν περιμέτρων τὰς ἑτέρας τῶν ὑπ' αὐτῶν ἀφοριζομένων πλευράς, διελοῦμεν καὶ τὰ τῶν ἐκτομῶν ἡμικύκλια εἰς ρπ̄ τμήματα. Τούτων δὲ γενομένων, τῶν μὲν ἐλάσσονα τῶν κύκλων ὑποθέμενοι τὸν ἐσόμενον αἰεὶ δι' ἀμφοτέρων τῶν πόλων τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ καὶ ἔτι διὰ τῶν τροπικῶν σημείων, καὶ κατὰ τὴν τῆς εἰρημένης ἐκτομῆς ἐπιφάνειαν, διατρήσαντες μέσον κατὰ διάμετρον πρὸς τοῖς πέρασι τῆς ἐκτομῆς, προσαρμόσομεν περονίοις πρὸς τοὺς εἰλημμένους ἐν τῇ σφαίρᾳ πόλους τοῦ διὰ μέσων τῶν ζωδίων, ὥστε δύνασθαι περιάγεσθαι καθ' ὅλης τῆς σφαιρικῆς ἐπιφανείας.

Ενεκεν δὲ τοῦ λαμβάνειν τινὰ μένουσαν ἀρχὴν τοῦ τῶν ἀπλανῶν ἀσερισμοῦ, διὰ τὸ μὴ πιθανὸν εἶναι κατ' αὐτοῦ τοῦ τῆς σφαίρας ζωδιακοῦ τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα παραγράφειν, μὴ τηρουμένης πρὸς αὐτὰ τῆς τῶν ἀσεριζομένων

le premier, nous compterons les 360 degrés des divisions égales du cercle milieu du zodiaque, en y subdivisant les degrés en autant de portions que cela paroîtra utile. Ensuite ayant façonné au tour, deux cercles d'une matière ferme et bien polie, dont les surfaces fassent quatre angles droits, savoir : un cercle qui touchera par tous les points de sa circonférence concave la surface de la sphère, et un autre un peu plus grand, nous tracerons par le milieu de la surface courbe de l'un et de l'autre, des lignes qui en diviseront les largeurs en deux également; et par le moyen de ces lignes, divisant sur la moitié des circonférences, l'un des côtés qu'elles limitent, nous partagerons les demi-cercles de ces portions en 180d. Cela fait, et supposant que le plus petit de ces cercles passera toujours par les poles de l'équateur et du zodiaque, et par les points tropiques, après l'avoir percé dans le milieu de sa largeur en deux points diamétralement opposés qui seront les points extrêmes de ces demi-cercles, nous insérerons dans les trous, sur la sphère, des chevilles qui répondront aux poles du cercle mitoyen du zodiaque, de manière qu'il puisse s'y faire une révolution entière, par toute la surface de la sphère (*a*).

Mais pour commencer à quelque point constant et invariable les constellations des fixes, car il n'est pas à propos de marquer les points tropiques et équinoxiaux sur le zodiaque de la sphère, puisque les distances des constellations à ces points

n'est pas constante ; nous prendrons pour la première, la plus brillante de ces étoiles, qui est celle de la gueule du chien, sur le grand cercle qui coupe le zodiaque à angles droits, au point qui fait le commencement de cette division ; et cette étoile sera marquée sur ce cercle, au nombre convenable des degrés de sa latitude comptés depuis le cercle milieu du zodiaque, vers son pole austral. Nous marquerons ensuite les lieux des autres fixes, comme ils se suivent dans notre catalogue, en faisant tourner le globe sur les poles du zodiaque, pour amener le cercle gradué au point propre à chacune. Car rapportant toujours la surface de son côté divisé, au point correspondant du cercle milieu du zodiaque, lequel point est d'autant de degrés éloigné du commencement des nombres marqué par le lieu où répond le chien, que l'astre dont il s'agit est éloigné du chien en longitude dans le catalogue des étoiles; et comptant de là jusqu'au point du côté rapporté et divisé, qui sera d'autant de degrés éloigné du cercle milieu du zodiaque, que l'astre, dans ce catalogue, est marqué avancé vers le pole boréal ou austral du zodiaque, nous y marquerons le lieu de l'étoile, en nous servant d'une couleur jaune, ou de telle autre que nous aurons choisie suivant l'éclat et la grandeur des étoiles.

Nous simplifierons, le plus qu'il sera possible, les configurations de chacune des constellations, en marquant (*b*) d'un

διασάσεως, τὸ μὲν λαμπρότατον αὐτῶν, λέγω δὲ τὸν ἐν τῷ στόματι τοῦ κυνὸς, σημειωσόμεθα κατὰ τοῦ πρὸς ὀρθὰς τῷ ζωδιακῷ γεγραμμένου κύκλου, πρὸς τῷ τὴν ἀρχὴν τῆς διαιρέσεως πεποιηκότι τμήματι, τὰς ἐκκειμένας κατὰ πλάτος μοίρας ἀπέχοντα τοῦ διὰ μέσων ὡς πρὸς τὸν νότιον αὐτοῦ πόλον. Εφ' ἑκάστου δὲ λοιπὸν τῶν ἀπλανῶν ἀστέρων κατὰ τὸ ἑφεξῆς τῆς ἀναγραφῆς τὰς σημειώσεις ποιησόμεθα, διὰ τῆς τοῦ τὴν ἐκτομὴν διηρημένου κύκλου περὶ τοὺς τοῦ ζωδιακοῦ πόλους παραγωγῆς. Προσφέροντες γὰρ ἀεὶ τὴν ἐπιφάνειαν αὐτοῦ τῆς ἐκτετμημένης πλευρᾶς πρὸς τὸ τοῦ διὰ μέσων σημεῖον τὸ τοσαύτας ἀπέχον μοίρας τῆς κατὰ τὸ διὰ τοῦ κυνὸς τμῆμα τῶν ἀριθμῶν ἀρχῆς, ὅσας καὶ ὁ ἐπιζητούμενος ἀστὴρ ἐπὶ τῆς ἀναγραφῆς κατὰ μῆκος ἀπέχει τοῦ κυνὸς ἐρχόμενοί τε ἐπὶ τὸ τῆς παρεμπεσούσης καὶ διηρημένης πλευρᾶς σημεῖον, τὸ τοσαύτας πάλιν ἀπέχον μοίρας τοῦ διὰ μέσων, ὅσας καὶ ὁ ἀστὴρ ἐπὶ τῆς ἀναγραφῆς οἰκείως ἤτοι πρὸς τὸν βόρειον ἢ τὸν νότιον πόλον τοῦ ζωδιακοῦ, κατ' αὐτοῦ σημειωσόμεθα τὸν τοῦ ἀστέρος τόπον, προτιθέντες ἐφεξῆς τὸ ξανθὸν, ἢ τὸ ἐπ' ἐνίων διασημαινόμενον χρῶμα, συμμέτρως καὶ ἀκολούθως ταῖς ἐφ' ἑκάστου τῶν μεγεθῶν πηλικότησι.

Τοὺς μέντοι τῶν μορφώσεων ἑνὸς ἑκάστου τῶν ζωδίων σχηματισμοὺς ὡς ἔνι μάλιστα ἁπλουστάτους ποιήσομεν, γραμμαῖς

μόναις τοὺς ὑπὸ τὴν αὐτὴν διατύπωσιν ἀςέρας ἐμπεριλαμβάνοντες, καὶ ταύταις οὐ πολλῷ τοῦ καθ' ὅλην τὴν σφαῖραν χρώματος διαφερούσαις, ἵνα μήτε τὸ τῆς ἐξ αὐτῶν διασημασίας χρήσιμον παραλελειμμένον ὑπάρχῃ, μήτε ἡ τῶν ποικίλων χρωμάτων παράθεσις ἀφανίζῃ τὴν πρὸς τὴν ἀλήθειαν τῆς εἰκόνος ὁμοιότητα· ῥᾳδία δ' ἡμῖν καὶ εὐμνημόνευτος ἡ κατὰ τὴν προσβολὴν τῆς ἀναθεωρήσεως σύγχρισις γίνηται, συνεθιζομένοις καὶ ἐπὶ τῆς σφαιρικῆς εἰκόνος γυμνῇ τῇ τῶν ἀςέρων φαντασίᾳ.

Προσεντάξαντες οὖν καὶ τοῦ γαλακτίου θέσιν, ἀκολούθως πάλιν τοῖς προδεδηλωμένοις τόποις τε καὶ σχηματισμοῖς καὶ ἔτι πυκνώμασιν ἢ διαλείμμασι, προσαρμόσομεν καὶ τὸν μείζονα τῶν κύκλων, ἐσόμενον δὲ ἀεὶ μεσημβρινὸν, τῷ περιέχοντι τὴν σφαῖραν ἐλάσσονι, περὶ πόλους γινομένους τοὺς αὐτοὺς τοῖς τοῦ ἰσημερινοῦ· τῶν σημείων τούτων ἐπὶ μὲν τοῦ μείζονος καὶ μεσημβρινοῦ, πρὸς τοῖς πέρασι πάλιν τῆς ἐκτετμημένης καὶ διῃρημένης πλευρᾶς ὑπὲρ γῆς δὲ ἐσομένης, κατὰ διάμετρον ἐμπολιζομένων· ἐπὶ δὲ τοῦ ἐλάσσονος καὶ δι' ἀμφοτέρων τῶν πόλων, πρὸς τοῖς πέρασι τῶν ἀπεχουσῶν περιφερειῶν ἑκατέρου τῶν τοῦ ζωδιακοῦ πόλων κατὰ διάμετρον τὰς τῆς ἐγκλίσεως μοίρας κγ̄ νά, καταλειπομένων, κατὰ τὰς ἐκτομὰς τῶν κύκλων, μικρῶν στερεωμάτων, καθ' ὧν ἔσαι τὰ τρημάτια τῶν ἐμπολίσεων. Τὴν μὲν οὖν τοῦ ἐλάσσονος τῶν κύκλων ἐκτετμημένην πλευρὰν τὴν αὐτὴν πάντοτε

simple trait peu différent en couleur, de celle de la surface de la sphère, les contours qui embrassent les étoiles dont ces constellations sont composées, de manière à conserver le principal avantage de cette représentation, qui doit être de rendre ces étoiles bien distinctes, et à ne pas détruire par la variété des couleurs la ressemblance de l'image à la vérité; enfin la comparaison des étoiles nous deviendra aisée à faire et à retenir, si nous transportons sur la sphère, les apparences des étoiles telles qu'elles s'offrent à la vue.

En y ajoutant donc la position de la zône lactée, conformément à ce que nous avons dit de ses lieux, de ses formes, de ses densités et de ses interruptions, nous adopterons le plus grand cercle qui sera toujours un méridien, au plus petit qui embrasse la sphère, sur les poles qui seront ceux de l'équateur, placés diamétralement sur ce plus grand cercle méridien, aux extrémités du côté divisé et gradué qui sera toujours au-dessus de l'horizon; mais sur le plus petit cercle, qui passe par les poles du zodiaque et de l'équateur, ils seront placés aux extrémités diamétralement opposées de deux arcs, qui s'étendent depuis chacun des poles du zodiaque, à une distance de $23^{d}\,51'$ de ces poles, égale à l'obliquité (*de l'écliptique*), en mettant de petits pivots aux points des portions de ces cercles dans lesquels seront les trous des poles. Puis, nous placerons de part et d'autre, le côté divisé du plus petit cercle, toujours

le même que le méridien passant par les points tropiques, sur le point de la division du zodiaque, qui est d'autant de degrés éloigné de la première étoile du chien, que le chien était éloigné du point tropique d'été, dans le temps supposé, par exemple, de $12^d \frac{1}{3}$ contre l'ordre des signes, pour le commencement du règne d'Antonin. Nous ferons tomber le méridien perpendiculairement sur l'horizon qui est sur le support. Il sera partagé en deux également dans sa surface visible, et son plan pourra s'y mouvoir, de manière que nous pourrons toujours élever le pole boréal au-dessus de l'horizon, par le moyen de la division du méridien, d'une quantité égale à la grandeur des arcs qui conviennent aux climats supposés.

Mais quoique nous ne puissions placer sur notre sphère, l'équateur ni les tropiques, il n'en sera pas moins possible de reconnoître ces cercles; car le point du côté gradué du méridien, qui termine les 90^d du quart de cercle, depuis les poles, aura la même propriété que l'équateur (*celle de faire connoître les étoiles qui n'auront alors aucune déclinaison*); et les points de ce méridien, distants de $23^d\ 51'$, de part et d'autre de l'équateur, nous feront connoître les tropiques, celui d'été vers les ourses, et celui d'hiver du côté du midi. Ainsi, en faisant passer les étoiles dans le sens du premier mouvement d'orient en occident, sous le côté gradué du méridien, nous pourrons connoître, par le moyen de cette graduation,

γινομένην δηλονότι τῷ διὰ τῶν τροπικῶν σημείων μεσημβρινῷ, κατασήσομεν ἑκάστοτε πρὸς ἐκεῖνο τὸ σημεῖον τῆς τοῦ ζωδιακοῦ διαιρέσεως, τὸ τοσαύτας ἀπέχον μοίρας τῆς διὰ τοῦ κυνὸς ἀρχῆς, ὅσας ἡ ὁ κύων ἐν τῷ ὑποκειμένῳ χρόνῳ τῆς θερινῆς τροπῆς ἀφέστηκεν, ὡς κατά γε τὴν ἀρχὴν τῆς Αντωνίνου βασιλείας εἰς τὰ προηγούμενα μοίρας ιϛ γ'. Τὸν δὲ μεσημβρινὸν ὀρθὸν προσαρμόσομεν τῷ κατὰ τὴν βάσιν ὁρίζοντι, διχοτομούμενον μὲν ὑπὸ τῆς φαινομένης ἐπιφανείας αὐτοῦ, δυνάμενον δὲ περιάγεσθαι περὶ τὸ ἴδιον ἐπίπεδον, ὅπως ἐξαίρειν ἑκάστοτε δυνώμεθα τὸν βόρειον πόλον ἀπὸ τοῦ ὁρίζοντος, διὰ τῆς τοῦ μεσημβρινοῦ διαιρέσεως, ταῖς οἰκείαις τῶν ὑποκειμένων κλιμάτων περιφερείαις.

Οὐδὲν δὲ ἡμῖν ἔλαττον ἔσαι, παρὰ τὸ μὴ γεγονέναι δυνατὸν ἐπ' αὐτῆς τῆς σφαίρας, τόν τε ἰσημερινὸν καὶ τοὺς τροπικοὺς προσεντάξαι· τῆς γὰρ τοῦ μεσημβρινοῦ πλευρᾶς διηρημένης, τὸ μὲν μεταξὺ τῶν πόλων τοῦ ἰσημερινοῦ σημεῖον καὶ τὰς τοῦ τεταρτημορίου ζ̄ μοίρας ἀπέχον ἑκατέρου, τὴν αὐτὴν δύναμιν ἕξει τοῖς τοῦ ἰσημερινοῦ· τὰ δὲ ἐφ' ἑκάτερα τούτου τὰς κγ̄ να' μοίρας ἀπέχοντα, τοῖς ἑκατέρου τῶν τροπικῶν, τὸ μὲν πρὸς ἄρκτους τοῖς τοῦ θερινοῦ, τὸ δὲ πρὸς μεσημβρίαν τοῖς τοῦ χειμερινοῦ· ὥσε παραφερομένων κατὰ τὴν πρώτην καὶ ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς περιαγωγὴν πρὸς τὴν διηρημένην τοῦ μεσημβρινοῦ πλευρὰν, τῶν ἐπιζητουμένων ἀστέρων ἑκάστοτε, διὰ τῆς αὐτῆς πάλιν διαιρέσεως καὶ τὰς πρὸς τὸν ἰσημερινὸν

ἢ τοὺς τροπικοὺς αὐτῶν διασάσεις, ὡς ἐπὶ τοῦ διὰ τῶν πόλων τοῦ ἰσημερινοῦ, δύνασθαι καταλαμβάνεσθαι.

leurs distances cherchées, à l'équateur ou aux points tropiques, comme pouvant être prises sur le cercle qui passe par les poles de l'équateur.

ΚΕΦΑΛΑΙΟΝ Δ.

ΠΕΡΙ ΤΩΝ ΟΙΚΕΙΩΝ ΤΟΙΣ ΑΠΛΑΝΕΣΙ ΣΧΗΜΑΤΙΣΜΩΝ.

ΔΕΔΕΙΓΜΕΝΗΣ δὲ καὶ τῆς περὶ τὸν ἀσερισμὸν τῶν ἀπλανῶν ἰδιοτροπίας, λοιπὸν ἂν εἴη τὸν περὶ τῶν σχηματισμῶν αὐτῶν ποιήσασθαι λόγον. Τῶν δὲ περὶ τοὺς ἀπλανεῖς σχηματισμῶν μετὰ τοὺς πρὸς ἀλλήλους αὐτῶν καὶ μονίμους, ὡς ὅταν ἐπ' εὐθείας τινὲς ὦσιν ἢ ἐν σχήμασι τριγώνοις ἢ τοῖς τοιούτοις, οἱ μὲν πρὸς μόνους τοὺς πλανωμένους ἀστέρας ἥλιόν τε καὶ σελήνην, ἢ τὰ μέρη τοῦ ζωδιακοῦ θεωροῦνται, οἱ δὲ πρὸς μόνην τὴν γῆν, οἱ δὲ πρός τε τὴν γῆν ἅμα καὶ τοὺς πλανωμένους ἀστέρας ἥλιόν τε καὶ σελήνην, ἢ τὰ μέρη τοῦ ζωδιακοῦ. Οἱ μὲν οὖν πρὸς μόνα τὰ πλανώμενα καὶ τὰ μέρη τοῦ ζωδιακοῦ γινόμενοι τῶν ἀπλανῶν σχηματισμοὶ, λαμβάνονται κοινῶς μὲν, ὅταν ἢτοι ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ κύκλου γένωνται, οἵ τε ἀπλανεῖς καὶ οἱ πλανώμενοι τῶν διὰ τῶν πόλων τοῦ ζωδιακοῦ γραφομένων, ἢ ἐπὶ διαφόρων μὲν, τριγώνους δὲ ἢ τετραγώνους ἢ ἑξαγώνους διασάσεις ποιούντων, τουτέστι γωνίαν περιεχόντων ἢτοι ὀρθὴν, ἢ τρίτῳ μιᾶς ὀρθῆς, ἢ ὑπερέχουσαν, ἢ ὑπερεχομένην, ἰδίως δὲ ἐφ' ὧν ὑποδραμεῖν τις δύναται τῶν πλανωμένων. Οὗτοι δέ εἰσιν οἱ ἐν τῷ πρίσματι τοῦ ζωδιακοῦ τῷ περιέχοντι τὰς κατὰ πλάτος

CHAPITRE IV.

DES CONFIGURATIONS PROPRES AUX ÉTOILES FIXES.

APRÈS avoir montré le moyen de représenter les fixes sur une sphère, il nous reste à parler des figures, de ses constellations. Or, de ces configurations, outre celles que les étoiles font constamment entr'elles comme quand elles sont en lignes droites, ou en forme de triangles, ou d'autres manières, les unes sont considérées relativement au soleil, à la lune et aux planètes seules, ou relativement aux parties du zodiaque; les autres relativement à la terre seule; et d'autres relativement à la terre, et tout à la fois aux planètes, au soleil et à la lune, ou aux parties du zodiaque. Les figures prises de leurs rapports avec les planètes seules et les parties du zodiaque, se déterminent en commun d'après les situations des étoiles et des planètes dans un même cercle de ceux qui passent par les poles du zodiaque, ou dans différens cercles, en faisant ensemble des triangles, ou des quadrilatères, ou des hexagones par leurs distances entr'elles, c'est-à-dire en embrassant un angle droit, ou moindre, ou plus grand, du tiers d'un droit; et particulièrement selon les étoiles sous lesquelles quelqu'une des planètes peut passer. Celles-ci sont renfermées dans la bande du zodiaque qui contient les distances des

planètes en latitude; considérées pour les cinq planètes, dans leurs appulses ou occultations apparentes; et pour le soleil et la lune, dans les disparitions, les conjonctions et les réapparitions successives.

παρόδους τῶν πλανωμένων κατεσπριγμένοι· πρὸς μὲν τοὺς πέντε πλανωμένους κατὰ τὰς φαινομένας αὐτῶν κολλήσεις ἢ ἐπιπροσθήσεις· πρὸς δὲ ἥλιον καὶ σελήνην, κατά τε τὰς κρύψεις καὶ συνόδους καὶ ἐπιτολάς.

Nous disons disparition (*a*), quand quelqu'étoile entrant dans les rayons des astres lumineux, commence à disparoître; conjonction ou rencontre, quand elle passe sous le centre de ces astres; réapparition, quand se dégageant de leurs rayons, elle commence à reparoître.

Κρύψιν μὲν γὰρ καλοῦμεν ὅταν ἄρχηταί τις ὑπὸ τὰς αὐγὰς γινόμενος τῶν φώτων ἀφανίζεσθαι· σύνοδον δ' ὅταν ὑπὸ τοῦ κέντρου αὐτοῦ τὴν ἐπιπρόσθησιν λάβῃ· ἐπιτολὴν δὲ, ὅταν ἐκφυγὼν τὰς αὐγὰς αὐτῶν ἄρχηται φαίνεσθαι.

Les aspects des étoiles fixes relativement à la terre, sont de quatre sortes; quelques personnes les appellent d'un nom commun, *centres*; mais ce sont proprement le lever et la culmination au-dessus de la terre, le coucher et le passage au méridien en-dessous. Pour tous les lieux où l'équateur est vertical, toutes les étoiles fixes se lèvent et se couchent, et passent une fois en chaque révolution au méridien supérieur, et une fois au méridien inférieur, les poles étant alors dans l'horizon, et ne rendant aucun des cercles parallèles ni toujours visible, ni toujours invisible. Pour les lieux auxquels un des poles est vertical, aucune des étoiles fixes, ne se lève ni ne se couche; l'équateur étant dans le plan de l'horizon de ces lieux, et faisant mouvoir toujours un des hémisphères au-dessus de la terre, et l'autre au-dessous, ensorte que chacun des astres passe deux fois au méridien en chaque révolution, les uns au-dessus, les autres au-dessous de la terre. Dans les in-

Οἱ δὲ πρὸς μόνην τὴν γῆν τῶν ἀπλανῶν σχηματισμοὶ δ' ὄντες· κοινῶς μὲν ὑπ' ἐνίων καλοῦνται κέντρα, ἰδίως δὲ ἀνατολὴ καὶ μεσουράνημα ὑπὲρ γῆς, καὶ δύσις καὶ μεσουράνημα ὑπὸ γῆν. Οπου μὲν οὖν, ὁ ἰσημερινὸς κατὰ κορυφὴν γίνεται, πάντως οἱ ἀπλανεῖς ἀστέρες καὶ ἀνατέλλουσι καὶ δύνουσι, καὶ ἅπαξ μὲν καθ' ἑκάστην περιστροφὴν ὑπὲρ γῆς μεσουρανοῦσιν· ἅπαξ δὲ ὑπὸ γῆν, τῶν τοῦ ἰσημερινοῦ πόλων τότε τοῦ ὁρίζοντος ἁπτομένων, καὶ μηδένα τῶν παραλλήλων κύκλων μήτε ἀεὶ φανερὸν μήτε ἀεὶ ἀφανῆ ποιούντων. Οπου δὲ οἱ πόλοι γίνονται κατὰ κορυφὴν, οὐδὲ εἷς οὔτε ἀνατέλλει οὔτε δύνει τῶν ἀπλανῶν, τοῦ ἰσημερινοῦ τότε τὴν τοῦ ὁρίζοντος θέσιν λαμβάνοντος, καὶ τὸ μὲν ἕτερον τῶν ὑπ' αὐτοῦ γινομένων ἡμισφαιρίων πάντοτε περιφέροντος ὑπὲρ γῆν, τὸ δὲ ἕτερον ὑπὸ γῆν, ὥστε δὶς ἕκαστον τῶν ἀστέρων ἐν τῇ μιᾷ περιστροφῇ μεσουρανεῖν, οὓς μὲν ὑπὲρ γῆν πάλιν, οὓς δ' ὑπὸ

γῆν. Εν δὲ ταῖς ἄλλαις ἐγκλίσεσι ταῖς μεταξὺ τούτων, ἐνίων κύκλων γινομένων ἀεὶ φανερῶν καὶ ἀεὶ ἀφανῶν, οἱ μὲν ὑπὸ τούτων ἐναπολαμβανόμενοι πρὸς τοὺς πόλους οὔτε ἀνατέλλουσιν οὔτε δύνουσι, δύο δὲ καθ' ἑκάστην περιφορὴν ποιοῦνται μεσουρανήσεις, οἱ μὲν ἐν τῷ ἀεὶ φανερῷ πάλιν ὑπὲρ γῆν, οἱ δὲ ἐν τῷ ἀεὶ ἀφανεῖ πάλιν ὑπὸ γῆν· οἱ δὲ λοιποὶ καὶ ἐπὶ τῶν μειζόνων παραλλήλων καὶ ἀνατέλλουσι καὶ δύνουσιν, ἅπαξ μὲν ὑπὲρ γῆν καθ' ἑκάστην περιφορήν, ἅπαξ δὲ ὑπὸ γῆν. Τούτων δὲ ὁ μὲν ἀπό τινος τῶν κέντρων ἐπὶ τὸ αὐτὸ χρόνος ὁ αὐτός ἐστι παντα χῆ· περιέχει γὰρ μίαν περιφορὴν πρὸς αἴσθησιν· ὁ δὲ ἀπό τινος τῶν κέντρων ἐπὶ τὸ κατὰ διάμετρον πρὸς μὲν τὸν μεσημβρινὸν θεωρούμενος, ὁ αὐτός ἐστι παντα χῆ· περιέχει γὰρ μιᾶς περιφορᾶς ἥμισυ· πρὸς δὲ τὸν ὁρίζοντα, τοῦ μὲν ἰσημερινοῦ κατὰ κορυφὴν γινομένου, πάλιν ὁ αὐτός· περιέχει γὰρ ἑκάτερος ἥμισυ περιφορᾶς, τῶν παραλλήλων πάντων τότε μὴ μόνον ὑπὸ τοῦ μεσημβρινοῦ, ἀλλὰ καὶ ὑπὸ τοῦ ὁρίζοντος διχοτομουμένων. Επὶ δὲ τῶν ἄλλων ἐγκλίσεων οὔτε ὁ ὑπὲρ γῆν οὔτε ὁ ὑπὸ γῆν χρόνος καθ' αὑτῶν πάντων ἐστὶν ἴσος, οὔτε καθ' ἕκαστον ὁ ὑπὲρ γῆν τῷ ὑπὸ γῆν, εἰ μὴ μόνον τῶν ἐπ' αὐτοῦ τοῦ ἰσημερινοῦ τυγχανόντων, τούτου μὲν μόνου καὶ ἐπὶ τῆς ἐγκεκλιμένης σφαίρας ὑπὸ τοῦ ὁρίζοντος εἰς ἴσα διαιρουμένου, τῶν δὲ ἄλλων πάντων εἰς ἀνομοίους τε καὶ ἀνίσους περιφερείας τεμνομένων. Τούτοις δὲ ἀκολούθως καὶ ὁ μὲν ἀπ' ἀνατολῆς ἢ δύσεως ἐπί τινα τῶν μεσουρανήσεων χρόνος ἑκάστου, ἴσος

clinaisons entre ces deux extrêmes, quelques cercles parallèles étant toujours visibles, et quelques autres toujours invisibles, les étoiles qui y sont comprises vers les poles, ou ne se couchent jamais ou ne se lèvent jamais, et passent deux fois au méridien en chaque révolution, les uns visiblement au-dessus de la terre, les autres invisiblement au-dessous. Les autres qui décrivent des parallèles plus grands, se lèvent et se couchent une fois au-dessus de la terre en chaque révolution, et une fois en-dessous. Leur temps depuis un des centres jusqu'à leur retour au même centre est toujours le même, car il renferme sensiblement une révolution. Et le temps depuis un des centres jusqu'au point diamétralement opposé, étant considéré relativement au méridien, est toujours le même, car il renferme la moitié d'une révolution; et relativement à l'horizon lorsque l'équateur est vertical, il est encore le même, car chacun contient la moitié de la révolution, tous les parallèles alors étant coupés en deux également non seulement par le méridien, mais encore par l'horizon. Mais dans les autres inclinaisons, le temps du passage au-dessus de la terre, considéré en lui-même, n'est pas égal pour toutes; et si l'on compare le temps que chacune passe au-dessus de l'horizon, à celui qu'elle passe au-dessous, on n'y trouvera point d'égalité, si ce n'est seulement pour les étoiles qui sont dans l'équateur; lui seul étant coupé en deux portions égales par l'horizon, dans la sphère oblique, tandis que tous les cercles parallèles sont coupés en portions inégales et non semblables. Par une conséquence de ces principes, le temps de chacun d'eux depuis le lever ou coucher jusqu'à l'un des points du méridien, est

égal à celui depuis ce même point jusqu'au coucher ou au lever, parceque le méridien divise en deux portions égales les arcs des parallèles au-dessus, et ceux au-dessous de la terre. Mais le temps depuis le lever jusqu'au méridien supérieur, et depuis le coucher jusqu'au méridien inférieur, est inégal dans la sphère oblique et égal dans la sphère droite, parceque dans la sphère droite seule les arcs au-dessous de la terre sont égaux à ceux qui sont au-dessus. C'est pourquoi les étoiles qui, dans la sphère droite, passent en même temps au méridien, se lèvent et se couchent en même temps, par la raison que leur marche autour des poles du zodiaque ne se fait pas sentir dans un si court intervalle. Mais dans la sphère oblique, les étoiles qui passent en même temps au méridien, ne se lèvent ni ne se couchent en même temps, parceque les plus méridionales se lèvent toujours plus tard et se couchent plus tôt que les boréales.

Les aspects des fixes considérés relativement à la tèrre et aux planètes ensemble, ou aux portions du zodiaque, se prennent généralement encore ou des levers ou des passages au méridien, ou des couchers simultanés avec ceux de quelque planète ou de quelque portion du zodiaque ; mais particulièrement par rapport au soleil, ces aspects se prennent de neuf manières.

Le premier aspect se nomme subsolaire du matin, (*vent d'est*) quand l'étoile se trouve à l'horizon avec le soleil à l'orient. Il y en a une espèce appelée lever subséquent (*épanatole*) et qui ne paroît pas,

ἐσι τῷ ἀπὸ τῆς αὐτῆς μεσουρανήσεως ἐπ' ἀνατολὴν ἢ δύσιν, διὰ τὸ τὸν μεσημβρινὸν καὶ τὰ ὑπὲρ γῆν καὶ τὰ ὑπὸ γῆν κλίματα τῶν παραλλήλων εἰς ἴσα διαιρεῖν· ὁδ' ἀπ' ἀνατολῆς ἢ δύσεως ἐφ' ἑκατέραν τῶν μεσουρανήσεων, ἄνισος μὲν ἐπὶ τῆς ἐγκεκλιμένης σφαίρας, ἴσος δὲ ἐπὶ τῆς ὀρθῆς, τῷ τὰ ὑπὲρ γῆν ὅλα τοῖς ὑπὸ γῆν τμήμασιν ἐνθάδε μόνον ἴσα τυγχάνειν. Οθεν ἐπὶ μὲν τῆς ορθῆς σφαίρας συμμεσουρανοῦντες, ἀεὶ καὶ συνανατέλλουσι καὶ συγκαταδύνουσιν, ἐφ' ὅσον οὐ γίνεταί γε αὐτῶν ἡ περὶ τοὺς τοῦ ζωδιακοῦ πόλους μετάβασις αἰσθητή· ἐπὶ δὲ τῆς ἐγκεκλιμένης οἱ συμμεσουρανοῦντες οὔτε συνανατέλλουσιν οὔτε συγκαταδύνουσιν, ἀλλὰ οἱ νοτιώτεροι τῶν βορειοτέρων ἀεὶ ὕστεροι ἀνατέλλουσι καὶ πρότεροι καταδύνουσιν.

Οἱ δὲ πρὸς τὴν γῆν ἅμα καὶ τὰ πλανώμενα ἢ τὰ μέρη τοῦ ζωδιακοῦ θεωρούμενοι τῶν ἀπλανῶν σχηματισμοὶ καταλαμβάνονται, κοινῶς μὲν πάλιν ἀπὸ τῶν συνανατολῶν, ἢ συμμεσουρανήσεων, ἢ συγκαταδύσεων τῶν ἤτοι μετά τινος τῶν πλανωμένων, ἢ μετά τινος τῶν τοῦ ζωδιακοῦ μερῶν· ἰδίως δ' οἱ πρὸς τὸν ἥλιον γινόμενοι θεωροῦνται κατὰ τρόπους θ̄.

Καὶ πρῶτος μέν ἐσι σχηματισμοῦ τρόπος ὁ καλούμενος πρωϊνὸς ἀπηλιώτης, ὅταν ὁ ἀσὴρ ἐπὶ τοῦ πρὸς ἀνατολὰς ὁρίζοντος γένηται σὺν ἡλίῳ. Τούτου δὲ ὁ μέν τι καλεῖται ἑῴα μὴ φαινομένη ἐπανατολή,

ὅταν ὁ ἀστὴρ ἀρχόμενος κρύψιν ποιεῖσθαι, μετὰ τὸν ἥλιον εὐθέως ἀνατείλῃ· ὁ δέ τι καλεῖται ἑῷα συναπατολὴ ἀληθινή, ὅταν ὁ ἀστὴρ ἅμα καὶ κατὰ τὸ αὐτὸ γίνηται τῷ ἡλίῳ ἐπὶ τοῦ πρὸς ἀνατολὰς ὁρίζοντος· ὁ δέ τι καλεῖται ἑῷα προανατολὴ φαινομένη, ὅταν ὁ ἀστὴρ ἀρχόμενος ἐπιτολὴν ποιεῖσθαι προανατείλῃ τοῦ ἡλίου.

quand l'étoile après avoir commencé à se cacher dans les rayons du soleil, se lève aussitôt après lui ; et une autre espèce appellée lever simultané vrai, quand l'étoile se trouve sur l'horizon à l'orient en même temps et tout ensemble avec le soleil ; et enfin une troisième espèce qui est le lever antérieur (*proanatole*), quand l'étoile commençant à se dégager, précède par son lever celui du soleil.

Δεύτερος δ' ἐστὶ σχηματισμὸς, ὁ καλούμενος πρωϊνὸν μεσουράνημα, ὅταν ὁ ἀστὴρ, τοῦ ἡλίου ὄντος ἐπὶ τοῦ πρὸς ἀνατολὰς ὁρίζοντος, αὐτὸς κατὰ τὸν μεσημβρινὸν ᾖ, ἤτοι ὑπὲρ γῆν, ἢ ὑπὸ γῆν. Τούτου δὲ πάλιν ὁ μέν τι καλεῖται ἑῷον μεσουράνημα μὴ φαινόμενον, ὅταν μετὰ τὴν τοῦ ἡλίου ἀνατολὴν, εὐθὺς ὁ ἀστὴρ μεσουρανήσῃ· ὁ δέ τι καλεῖται ἑῷον συμμεσουράνημα ἀληθινὸν, ὅταν ἅμα τῷ ἡλίῳ ἀνατέλλοντι, καὶ ὁ ἀστὴρ μεσουρανήσῃ· ὁ δέ τι καλεῖται ἑῷον προμεσουράνημα, ὅταν μεσουρανήσαντος τοῦ ἀστέρος, εὐθὺς ὁ ἥλιος, ἀνατείλῃ, τὸ δὲ ὑπὲρ γῆν τούτου φαινόμενον γίνηται.

Le second aspect qu'on appelle culmination matutinale, quand le soleil étant à l'horizon vers l'orient, l'étoile est au méridien, soit au-dessus, soit au-dessous de la terre. L'une s'appelle culmination matutinale non apparente, quand l'étoile passe au méridien aussitôt après le lever du soleil ; l'autre est la culmination matutinale vraie quand l'étoile passe au méridien à l'instant du lever du soleil ; et une autre se nomme culmination matutinale antérieure lorsque le soleil se lève immédiatement après le passage de l'étoile au méridien, passage qu'on apperçoit dans cette culmination, lorsqu'elle se fait au-dessus de la terre.

Τρίτος ἐστὶ σχηματισμὸς καλούμενος πρωϊνὸς λίψ, ὅταν, τοῦ ἡλίου ἐπὶ τοῦ πρὸς ἀνατολὰς ὁρίζοντος ὄντος, ὁ ἀστὴρ ᾖ ἐπὶ τοῦ πρὸς δυσμάς. Τούτου δὲ πάλιν ὁ μέν τι καλεῖται ἑῷα ἐπικατάδυσις μὴ φαινομένη, ὅταν τοῦ ἡλίου ἀνατέλλοντος, εὐθὺς καταδύνῃ ὁ ἀστὴρ· ὁ δὲ καλεῖται ἑῷα συγκατάδυσις ἀληθινὴ, ὅταν ἅμα τῷ ἡλίῳ ἀνατέλλοντι καὶ ὁ ἀστὴρ

Le troisième aspect s'appelle coucher du matin (*du vent d'ouest*), quand le soleil étant dans l'horizon à l'orient, l'étoile se couche à l'occident. L'un est le coucher matutinal postérieur, qui ne paroît pas, parcequ'alors l'étoile se couche aussitôt après que le soleil est levé ; le second est le coucher matutinal simultané vrai où l'étoile se couche précisément quand le soleil se lève ; et le

troisième est le coucher matutinal antérieur que l'on voit, parceque l'étoile se couche immédiatement avant le lever du soleil.

καταδύνῃ· ὁ δέ τι καλεῖται ἑῴα πρόδυσις φαινομένη, ὅταν τοῦ ἀστέρος καταδύοντος, ὁ ἥλιος εὐθέως ἀνατέλλῃ.

Le quatrième aspect est nommé lever méridional oriental; il a lieu quand le soleil étant au méridien, l'étoile est à l'horizon oriental. On en distingue deux sortes, l'une se fait de jour et ne paroît pas, quand le soleil étant au méridien au-dessus de la terre, l'étoile se lève; l'autre se fait de nuit et est visible, quand le soleil étant au méridien au-dessous de la terre, l'étoile se lève.

Τέταρτός ἐστι σχηματισμὸς ὁ καλούμενος μεσημβρινὸς ἀπηλιώτης, ὅταν τοῦ ἡλίου ἐπὶ τοῦ μεσημβρινοῦ ὄντος, ὁ ἀστὴρ ᾖ ἐπὶ τοῦ ἀπηλιωτικοῦ ὁρίζοντος. Τούτου δὲ πάλιν ὁ μέν τί ἐστιν ἡμερινὸς καὶ μὴ φαινόμενος, ὅταν τοῦ ἡλίου ὑπὲρ γῆν μεσουρανοῦντος, ὁ ἀστὴρ ἀνατέλλῃ· τὸ δέ τι νυκτερινὸν καὶ φαινόμενον, ὅταν, τοῦ ἡλίου ὑπὸ γῆν μεσουρανοῦντος, ὁ ἀστὴρ ἀνατέλλῃ.

Le cinquième aspect est appellé culmination méridienne, quand le soleil et l'étoile sont ensemble au méridien. Il y a deux cas de jour où l'étoile n'est pas visible, c'est quand le soleil étant au méridien au-dessus de la terre, l'étoile y est aussi avec lui, ou est au-dessous de la terre dans le point diamétralement opposé du méridien, et il y a deux cas pour la nuit, lorsque le soleil est au méridien en dessous de la terre, dans l'un desquels l'étoile ne paroît pas, quand elle est avec le soleil au-dessous de la terre, et dans l'autre elle paroît quand elle est au-dessus.

Πέμπτος ἐστὶ σχηματισμὸς ὁ καλούμενος μεσημβρινὸν μεσουράνημα, ὅταν ἅμα ὅ τε ἥλιος καὶ ἀστὴρ ἐπὶ τοῦ μεσημβρινοῦ γένωνται. Καὶ τούτου δὲ δύο μέν ἐστιν ἡμερινὰ καὶ μὴ φαινόμενα, ὅταν τοῦ ἡλίου μεσουρανοῦντος ὑπὲρ γῆν, ὁ ἀστὴρ ἤτοι σὺν αὐτῷ καὶ αὐτὸς ὑπὲρ γῆν μεσουρανῇ, ἢ πάλιν ὑπὸ γῆν κατὰ διάμετρον· δύο δὲ νυκτερινὰ τὰ γινόμενα, τοῦ ἡλίου μεσουρανοῦντος ὑπὸ γῆν· καὶ τούτων τὸ μὲν μὴ φαινόμενον, ὅταν ὁ ἀστὴρ σὺν τῷ ἡλίῳ καὶ αὐτὸς ὑπὸ γῆν μεσουρανῇ· τὸ δὲ φαινόμενον, ὅταν ὑπὲρ γῆν κατὰ διάμετρον.

Le sixième aspect appellé coucher méridional-occidental, quand le soleil étant au méridien, l'étoile est dans l'horizon à l'occident. Il y en a un de jour et qui n'est pas visible, quand le soleil étant au méridien supérieur, l'étoile se couche; et un autre qui se fait la nuit et qui est vi-

Ἕκτος ἐστὶ σχηματισμὸς ὁ καλούμενος μεσημβρινὸς λίψ, ὅταν τοῦ ἡλίου ἐπὶ τοῦ μεσημβρινοῦ ὄντος, ὁ ἀστὴρ ᾖ ἐπὶ τοῦ πρὸς δυσμὰς ὁρίζοντος. Τούτου δὲ πάλιν ὁ μέν τί ἐστιν ἡμερινὸν καὶ μὴ φαινόμενον, ὅταν τοῦ ἡλίου ὑπὲρ γῆν μεσουρανοῦντος, ὁ ἀστὴρ καταδύνῃ· ὁ δέ τι νυκτερινὸν καὶ φαινόμενον,

ὅταν τοῦ ἡλίου ὑπὸ γῆν μεσουρανοῦντος ὁ ἀστὴρ καταδύῃ.

sible, quand le soleil étant au méridien inférieur, l'étoile se couche.

Ἕβδομός ἐστι σχηματισμὸς ὁ καλούμενος ὀφινὸς ἀπηλιώτης, ὅταν τοῦ ἡλίου ἐπὶ τοῦ πρὸς δυσμὰς ὁρίζοντος ὄντος, ὁ ἀστὴρ ἐπὶ τοῦ πρὸς ἀνατολὰς ᾖ. Τούτου δὲ πάλιν ὁ μέν τι καλεῖται ἑσπερία ἐπανατολὴ φαινομένη, ὅταν τοῦ ἡλίου δύναντος, εὐθὺς ὁ ἀστὴρ ἀνατέλλῃ· ὁ δέ τι καλεῖται ἑσπερία συνανατολὴ ἀληθινή, ὅταν ἅμα τῷ ἡλίῳ δύνοντι καὶ ὁ ἀστὴρ ἀνατέλλῃ· ὁ δέ τι καλεῖται ἑσπερία προανατολὴ μὴ φαινομένη, ὅταν τοῦ ἀστέρος ἀνατείλαντος, εὐθὺς ὁ ἥλιος καταδύνῃ.

Le septième aspect est le lever du soir, quand le soleil étant dans l'horizon à l'occident, l'étoile est dans l'horizon à l'orient. Il y en a trois sortes : L'un s'appelle lever du soir postérieur et visible, quand le soleil étant couché, l'étoile se lève aussitôt après lui. L'autre s'appelle lever du soir simultané vrai, quand l'étoile se lève en même temps que le soleil se couche ; le troisième est appellé lever du soir antérieur et non visible, quand le soleil se couche immédiatement après le lever de l'étoile.

Ὀγδοός ἐστι σχηματισμὸς ὁ καλούμενος ὀφινὸν μεσουράνημα, ὅταν τοῦ ἡλίου ὄντος ἐπὶ τοῦ πρὸς δυσμὰς ὁρίζοντος, ὁ ἀστὴρ ᾖ ἐπὶ τοῦ μεσημβρινοῦ, ἢ τοῦ ὑπὲρ γῆν, ἢ ὑπὸ γῆν. Τούτου δὲ πάλιν τὸ μέν τι καλεῖται ἑσπερινὸν ἐπιμεσουράνημα φαινόμενον, ὅταν τοῦ ἡλίου δύναντος, εὐθὺς καὶ ὁ ἀστὴρ μεσουρανήσῃ· τὸ δέ τι καλεῖται ἑσπερινὸν συμμεσουράνημα ἀληθινόν, ὅταν ἅμα τῷ ἡλίῳ δύνοντι καὶ ὁ ἀστὴρ μεσουρανήσῃ· τὸ δέ τι καλεῖται ἑσπερινὸν προμεσουράνημα μὴ φαινόμενον, ὅταν τοῦ ἀστέρος μεσουρανήσαντος, εὐθὺς ὁ ἥλιος καταδύνῃ.

Le huitième aspect s'appelle culmination du soir, quand le soleil étant dans l'horizon occidental, l'étoile est au méridien soit au-dessus, soit au-dessous de la terre. L'une est la culmination postérieure du soir, quand l'étoile passe au méridien aussitôt que le soleil est couché ; l'autre est la culmination vraie simultanée du soir, quand l'étoile passe au méridien au moment où le soleil se couche. La troisième est la culmination antérieure du soir, quand le soleil ne se couche qu'après le passage de l'étoile au méridien.

Ἔνατός ἐστι σχηματισμὸς ὁ καλούμενος ὀφινὸς λίψ, ὅταν ὁ ἀστὴρ σὺν τῷ ἡλίῳ

Le neuvième aspect se nomme coucher occidental (*lips*) du soir, quand l'étoile

est dans l'horizon à l'occident avec le soleil. L'un est postérieur et visible, lorsque l'étoile près de se cacher dans les rayons du soleil, ne se couche qu'après lui; le second est simultané et vrai quand l'étoile se couche avec le soleil et au même instant; et le troisième est antérieur et invisible, quand l'étoile, près de se dégager, se couche avant le soleil.

ἐπὶ τοῦ πρὸς δυσμὰς ὁρίζοντος γίνηται. Τούτου δὲ πάλιν τὸ μέν τι καλεῖται ἑσπερία ἐπικατάδυσις φαινομένη, ὅταν ὁ ἀσὴρ ἀρχόμενος κρύψιν ποιεῖσθαι, μετὰ τὸν ἥλιον εὐθὺς αὐτὸς καταδύνῃ· τὸ δέ τι καλεῖται ἑσπερία συγκατάδυσις ἀληθινὴ, ὅταν ὁ ἀσὴρ ἅμα καὶ κατὰ τὸ αὐτὸ τῷ ἡλίῳ καταδύνῃ· τὸ δέ τι καλεῖται ἑσπερία πρόδυσις μὴ φαινομένη, ὅταν ὁ ἀσὴρ ἀρχόμενος ἐπιτολὴν ποιεῖσθαι προκαταδύνῃ τοῦ ἡλίου.

CHAPITRE V.

DES LEVERS, CULMINATIONS ET COUCHERS DES FIXES SIMULTANÉMENT AVEC LE SOLEIL.

ΚΕΦΑΛΑΙΟΝ Α.

ΠΕΡΙ ΣΥΝΑΝΑΤΟΛΩΝ ΚΑΙ ΣΥΜΜΕΣΟΥΡΑΝΗΣΕΩΝ ΚΑΙ ΣΥΓΚΑΤΑΔΥΣΕΩΝ ΤΩΝ ΑΠΛΑΝΩΝ.

Après cette distinction des divers aspects des fixes, les temps des levers, des culminations et des couchers simultanés considérés relativement au centre du soleil, peuvent se connoître aisément par une construction fort simple, d'après leurs positions dans les constellations, attendu que les points du cercle milieu du zodiaque, avec lesquels chacune des fixes se lève, culmine et se couche, se démontrent géométriquement par le moyen des théorêmes suivans.

Soit d'abord, pour les culminations, le cercle ABGD passant par les poles tant de l'équateur que du zodiaque; AEG le demi-cercle de l'équateur, décrit autour du pole Z; BED celui du zodiaque autour du pole H, et décrivons par les

Τούτων δ' οὕτως ἐχόντων, οἱ μὲν τῶν ἀληθινῶν καὶ πρὸς τὸ κέντρον τοῦ ἡλίου θεωρουμένων συναντολῶν τε καὶ συμμεσουρανήσεων καὶ συγκαταδύσεων χρόνοι αὐτόθεν διὰ μόνων τῶν γραμμῶν ἀπὸ τῆς κατὰ τὸν ἀσερισμὸν αὐτῶν θέσεως ἡμῖν δύνανται λαμβάνεσθαι, διὰ τὸ καὶ τὰ σημεῖα τοῦ διὰ μέσων τῶν ζωδίων, οἷς ἕκαστος τῶν ἀπλανῶν συμμεσουρανεῖ τε καὶ συναντέλλει καὶ συγκαταδύνει, δείκνυσθαι γραμμικῶς διὰ τῶν ὑποκειμένων θεωρημάτων.

Εστω γὰρ πρῶτον, ἕνεκεν τῶν συμμεσουρανήσεων, ὁ δι' ἀμφοτέρων τῶν πόλων τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ κύκλος ὁ ΑΒΓΔ, τοῦ ἰσημερινοῦ μὲν ἡμικυκλίου τὸ ΑΕΓ περὶ πόλον τὸ Ζ, ζωδιακοῦ δὲ τὸ ΒΕΔ περὶ πόλον τὸ Η· καὶ διὰ τῶν πόλων τοῦ ζωδιακοῦ γεγράφθω μεγίστου

κύκλου τμῆμα τὸ ΗΘΚΛ, ἐφ' οὗ τὸ Θ σημεῖον νοείσθω ὁ ἐπιζητούμενος ἀςὴρ τῶν ἀπλανῶν, ἐπεὶ πρὸς τοὺς οὕτω γραφομένους κύκλους αἱ θέσεις αὐτῶν ἔτυχον ὑφ' ἡμῶν τηρήσεώς τε καὶ ἀναγραφῆς. Γεγράφθω δὲ καὶ διὰ τῶν πολῶν τοῦ ἰσημερινοῦ καὶ τοῦ κατὰ τὸ Θ ἀςέρος μεγίσου κύκλου τμῆμα τὸ ΖΘΜΝ. Οτι μὲν τοίνυν ὁ κατὰ τὸ Θ ἀςὴρ τοῖς Μ καὶ Ν σημείοις τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ συμμεσουρανεῖ, φανερόν· ὅτι δὲ δίδοται ταῦτά τε καὶ ἡ ΘΝ περιφέρεια, διὰ τούτον ἔςαι δῆλον. Επεὶ γὰρ διὰ τὰ ἐν τοῖς πρώτοις τῆς συντάξεως δεδειγμένα εἰς δύο μεγίσων κύκλων περιφερείας, τήν τε ΑΗ καὶ τὴν ΑΝ, διήχθησαν μεγίσων κύκλων περιφέρειαι ἥ τε ΗΛ καὶ ἡ ΝΖ, ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΗΑ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΑΖ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΗΛ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΛΘ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΝΘ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΖΝ. Αλλὰ τῶν μὲν ΑΖ καὶ ΖΝ καὶ ΗΚ ἑκάςη αὐτόθεν ὑπόκειται τεταρτημορίου, δίδοται δὲ ἐκ μὲν τῆς ἀναγραφῆς τοῦ ἀςέρος ἥ τε ΚΘ τοῦ πλάτους, καὶ ἡ ΚΒ τοῦ μήκους, ἐκ δὲ τῆς ἀποδεδειγμένης τοῦ διὰ μέσων ἐγκλίσεως, ἥ τε ΖΗ καὶ ἡ ΚΛ· δῆλον ἄρα ὅτι δεδομέναι μὲν ἔσονται τῶν ἐπιζητουμένων περιφερειῶν ἥ τε ΗΛ καὶ ἡ ΑΖ καὶ ἡ ΗΛ καὶ ἡ ΛΘ καὶ ἔτι ἡ ΝΖ, δοθήσεται δὲ διὰ ταῦτα καὶ λοιπὴ ἡ ΝΘ.

Πάλιν ἐπεὶ καὶ ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΖΗ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΗΑ



poles du zodiaque l'arc HTKL d'un grand cercle sur lequel on concevra en Γ l'étoile dont il s'agit; car c'est par leur rapport aux cercles ainsi décrits, que nous avons observé et mis dans le catalogue les positions des fixes. Décrivons maintenant par les poles de l'équateur et par l'étoile T, l'arc ZTMN de grand cercle. Il est évident que l'étoile T passera au méridien avec les points M et N de l'équateur et du zodiaque. Or il est clair que ces points et l'arc TN seront par là même donnés. Car d'après ce qui a été démontré dans les premiers livres de ce traité, puisque les arcs HL et NZ de grands cercles ont été menés sur les arcs AH, AN, aussi de grands cercles, la raison de la soutendante du double de l'arc AH, à celle du double de l'arc AZ, est composée de la raison de la soutendante du double de l'arc HL à celle du double de l'arc LT, et de la raison de la soutendante du double de l'arc NT à celle du double de l'arc ZN. Mais chacun des arcs AZ, ZN, HK, est supposé être un quart de cercle, et par la place de l'étoile, l'arc KT qui est sa latitude, et KB qui est sa longitude (*comptée du point solsticial voisin*), sont donnés; et par l'obliquité de l'écliptique les arcs ZH, KL, sont aussi donnés; il est donc clair que de ces arcs à l'aide desquels on cherche, HA, AZ, HL, LT, et TZ, seront donnés, ce qui fera connoître l'arc restant NT.

En outre, puisque le rapport de la soutendante du double de l'arc ZH à la

soutendante du double de l'arc HA, est composé du rapport de la soutendante du double de l'arc ZT à celle du double de l'arc TN, et du rapport de la soutendante du double de l'arc NL à celle du double de l'arc LA, et que pour les raisons énoncées ci-dessus, les arcs cherchés, ZH et HA, ainsi que ZT et TN, sont donnés : par les coascensions de l'équateur et du zodiaque dans la sphère droite, LA sera donné par KB, ainsi que l'arc restant NL. Par ces moyens, l'arc entier AH fera connoître l'arc MB du zodiaque ; et les points de l'équateur et du zodiaque qui se lèveront ou se coucheront en même temps que les fixes, se prendront de la manière suivante.



λόγος συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΖΘ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΘΝ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΝΛ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΛΑ, δεδομέναι δέ εἰσι τῶν ἐπιζητουμένων περιφερειῶν, διὰ μὲν τῶν προκειμένων, ἥ τε ΖΗ καὶ ἡ ΗΑ, καὶ ἔτι ἥ τε ΖΘ καὶ ἡ ΘΝ, διὰ δὲ τῶν ἐπ' ὀρθῆς τῆς σφαίρας συναναπολῶν τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ, ἀπὸ τῆς ΚΒ ἥ ΛΑ, καὶ λοιπὴ δοθήσεται ἡ ΝΛ, διὰ ταῦτα δὴ καὶ ἀπὸ τῆς ΝΑ ὅλης ἡ ΜΒ τοῦ ζωδιακοῦ· καὶ τὰ συναναπέλλοντα δὲ ἢ συγκαταδύνοντα σημεῖα τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ τοῖς ἀπλανέσι διὰ τῶν συμμεσουρανήσεων προχείρως λαμβάνεται τὸ τρόπον τοῦτον.

Soit le cercle méridien ABGD, et le demi-cercle AEG de l'équateur décrit autour du pole Z, et BED celui de l'horizon. Supposons que l'étoile se lève au point H de l'horizon, et décrivons le quart de grand cercle ZHT passant par Z et H. Puisque les arcs ZT, EB, ont été menés sur les deux arcs de grands cercles AZ et AE, le rapport de la soutendante du double de l'arc ZB à celle du double de l'arc BA, est composé de celui de la soutendante du double de l'arc ZH à la soutendante du double de l'arc HT, et du rapport de la soutendante du double de TE à celle du double de AE. Mais de tous ces arcs, dont on se



Εσω γὰρ μεσημβρινὸς κύκλος ὁ ΑΒΓΔ, καὶ ἰσημερινοῦ μὲν ἡμικύκλιον τὸ ΑΕΓ περὶ πόλον τὸν Ζ, ὁρίζοντος δὲ τὸ ΒΕΔ. Ανατελλέττω δὲ ὁ ἀὴρ κατὰ τὸ Η σημεῖον τοῦ ὁρίζοντος, καὶ διὰ τῶν Ζ, Η, γεγράφθω μεγίσου κύκλου τεταρτημόριον τὸ ΖΗΘ. Επεὶ οὖν πάλιν εἰς δύο μεγίσων κύκλων περιφερείας τήν τε ΑΖ καὶ τὴν ΑΕ διήχθησαν ἥ τε ΖΘ καὶ ἡ ΕΒ, ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΖΒ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΑ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΖΗ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΗΘ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΘΕ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΑΕ. Αλλὰ τῶν

ἐπιζητουμένων περιφερειῶν ἑκάστη τῶν ZA καὶ ZΘ καὶ EA τεταρτημόριον περιέχει, δίδοται δὲ καὶ ἐκ μὲν ἐξάρματος τῶν πόλων ἡ ZB, διὰ δὲ τῶν συμμεσουρανήσεων τό τε Θ σημεῖον τοῦ ἰσημερινοῦ, καὶ ἡ ΘH περιφέρεια, καὶ λοιπὴ ἄρα ἡ ΘE δοθήσεται.

sert, ZA, ZT, EA sont chacun un quart de circonférence de cercle, d'ailleurs l'arc ZB est donné par l'élévation des poles, et le point T de l'équateur ainsi que l'arc TH par leur passage simultané au méridien, donc l'arc restant TE sera donné.

Εὐκατανόητον δὲ ὅτι καὶ ἐπὶ τῶν συγκαταδύσεων, ἐὰν εἰς τὰ προηγούμενα τοῦΘ ἴσην τῇΘE περιφέρειαν ἀπολάβωμεν, οἷον τὴν KΘ, τῷ K σημείῳ τοῦ ἰσημερινοῦ συγκαταδύσεται ὁ ἀστὴρ, διὰ τὸ καὶ τότε τήν τε κατάδυσιν ἐπ' ἴσης τῇ BHπεριφερείᾳ γίνεσθαι, καὶ ἴσην γωνίαν εἰς τὰ προηγούμενα τοῦ μεσημβρινοῦ πάλιν ἀπολαμβάνεσθαι τῇ κατὰ τοῦτο τὸ σχῆμα, εἰς τὰ ἑπόμενα ὑπὸ τῶν AZ καὶ ZΘ περιεχομένη.

Il est aisé de voir que pour les couchers simultanés, si nous prenons dans les points précédens de T un arc égal à TE, comme TK; l'étoile se couchera avec le point K de l'équateur, parcequ'alors le coucher se fait par un arc égal à BH, et que l'angle avec le méridien dans les points précédens (*ou contre l'ordre des signes*), est égal à celui que font AZ et ZT dans les points suivans (*selon l'ordre des signes*).

Καὶ αὐτόθεν δὲ, ἀπὸ τῶν ἀποδεδειγμένων ἐφ' ἑκάστου κλίματος συναναστολῶν τε καὶ συγκαταδύσεων τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ, τό τε τῷ E σημείῳ τοῦ ἰσημερινοῦ καὶ τῷ ἀστέρι συναναστέλλον μέρος τοῦ ζωδιακοῦ δοθήσεται, καὶ τὸ τῷ K καὶ τῷ ἀστέρι συγκαταδύνον. Καὶ δῆλον ὅτι ἐν οἷς χρόνοις κατ' ἐκείνων τῶν τοῦ ζωδιακοῦ σημείων ὁ ἥλιος γίνεται ἀκριβῶς, ἐν τούτοις καὶ αἱ πρὸς τὸ κέντρον αὐτοῦ θεωρούμεναι τῶν ἀπλανῶν ἀνατολαί τε καὶ μεσουρανήσεις καὶ δύσεις, καλούμεναι δὲ ἀληθιναὶ συγκεντρώσεις, ἀποτελεσθήσονται.

Et il suit des levers et couchers simultanés de l'équateur et du zodiaque, tels qu'ils ont été démontrés pour chaque climat, que la portion du zodiaque qui se lève avec le point E de l'équateur et avec l'astre, sera donnée, ainsi que celle qui se couche avec le point K et l'astre. Et il est évident, que dans les mêmes temps où le soleil est vraiment dans ces points du zodiaque, arriveront aussi les levers, les passages au méridien, et les couchers des fixes, considérés relativement au centre de cet astre (*a*), et que l'on appelle relations simultanées vraies des centres (*ou aspects, page 98*).

CHAPITRE VI.

DES APPARITIONS ET DES DISPARITIONS DES FIXES.

Nous ne croyons pas que la méthode qui explique les apparitions et les disparitions par des lignes, d'après leur position seulement, soit suffisante. Car, par exemple, quoiqu'on démontre bien qu'une étoile se lève avec un certain point du zodiaque, il n'est pas également possible de montrer de quel arc le soleil étant éloigné de l'horizon, en dessous de la terre, elle commencera à paroître ou à se cacher; cet arc ne pouvant, ni partout ni dans les mêmes points, être toujours le même, mais variant tant par les grandeurs des étoiles que par leurs distances au soleil en latitude, et par les différentes inclinaisons du zodiaque (*à l'horizon*).

Car si nous imaginons le méridien ABGD, le demi-cercle AEG du zodiaque, celui de l'horizon BED décrit autour du pole H, il est clair que les étoiles se levant avec le point E du zodiaque, la plus grande, quand elle commence à paroître, le soleil étant, par exemple, avancé de l'arc EZ au dessous de l'horizon, sera absorbée quand il en sera plus près; et la plus petite, quoiqu'également éloignée du soleil en latitude, commencera à paroître quand le soleil en sera plus loin que de l'arc EZ,

ΚΕΦΑΛΑΙΟΝ ς.

ΠΕΡΙ ΦΑΣΕΩΝ ΚΑΙ ΚΡΥΨΕΩΝ ΤΩΝ ΑΠΛΑΝΩΝ.

Ὅτκετι μέντοι καὶ ἐπὶ τῶν φάσεων ἢ κρύψεων ἀφαρκοῦσαν εὑρίσκομεν τὴν διὰ τῶν γραμμῶν ἀπὸ μόνης αὐτῶν τῆς θέσεως ἐκτεθειμένην ἔφοδον· ἐπειδὴ οὐχ ὥσπερ, λόγου ἕνεκεν, ποίῳ σημείῳ τοῦ ζωδιακοῦ συνανατέλλων ὁ ἀστὴρ ἀποδείκνυται, δι' αὐτῶν ἔτι, καὶ πηλίκην τοῦ ἡλίου περιφέρειαν ἀπέχοντος ὑπὸ γῆν τοῦ ὁρίζοντος πρώτως φανήσεται, ἢ κρυφθήσεται, δυνατὸν εἶναι διὰ τῶν ὁμοίων λαμβάνεσθαι, μήτε ἐπὶ πάντων μήτε ἐπὶ τῶν αὐτων πανταχῆ ταύτης τῆς περιφερείας ἴσης εἶναι δυναμένης, ἀλλὰ διαφερούσης καὶ παρὰ τὰ μεγέθη τῶν ἀστέρων, καὶ παρὰ τὰς κατὰ πλάτος ἀποστάσεις τοῦ ἡλίου, καὶ παρὰ τὴν ἀλλοίωσιν τῶν ἐγκλίσεων τοῦ ζωδιακοῦ.



Εἀν γὰρ νοήσωμεν μεσημβρινὸν κύκλον τὸν ΑΒΓΔ, καὶ ζωδιακοῦ μὲν ἡμικύκλιον τὸ ΑΕΓ, ὁρίζοντος δὲ τὸ ΒΕΔ περὶ πόλον τὸ Η, δῆλον ὅτι τῶν πρὸ Ε σημείῳ τοῦ ζωδιακοῦ συνανατελλόντων ἀστέρων, ἐὰν ὁ μείζων πρώτως ἄρχηται φαίνεσθαι, τοῦ ἡλίου, λόγου ἕνεκα, τὴν ΕΖ περιφέρειαν ἐπέχοντος ὑπὸ γῆν, ὁ ἐλάσσων, κἂν ἴσον κατὰ πλάτος ἀφεστήκῃ τοῦ ἡλίου, πρώτως φανήσεται, μείζονα τῆς ΕΖ περιφέρειαν ἀπέχοντος αὐτοῦ, καὶ τὰς αὐ-

τὰς ποιοῦντος ἐλάσσονας. Καὶ πάλιν ἐπὶ τῶν ἰσομεγεθῶν ἀστέρων, ἐὰν ὁ συνεγγίζων τῷ E σημείῳ κατὰ τὸ πλάτος ἀπὸ τῆς EZ διαστάσεως φαίνηται, πρώτως ὁ τούτου πλέον ἀφεσὼς ἀπ' ἐλάττονος φανήσεται, διὰ τὸ καὶ ἐπὶ τῆς αὐτῆς τοῦ ἡλίου διαστάσεως ὑπὸ γῆν τὰς πρὸς αὐτῷ τῷ ζωδιακῷ καὶ τῷ ἡλίῳ γινομένας αὐγὰς πλείους εἶναι τῶν ἄπωθεν. Επί τε τῶν ἰσομεγεθῶν καὶ κατ' ἴσην πλάτους ἀπόστασιν ἀνατελλόντων, ὅσῳ ἐὰν πλεῖον ὁ ζωδιακὸς ἐγκλίνηται πρὸς τὸν ὁρίζοντα, καὶ τὴν ὑπὸ ΔEZ γωνίαν ἐλάσσονα ποιῇ, τοσούτῳ μᾶλλον ἀπὸ μείζονος διαστάσεως τῆς EZ ὡρώτως φανήσεται ὁ ἀστήρ.

et que ses rayons seront moins forts autour d'elle (*a*). Quant aux étoiles égales en grandeurs, si celle qui est tout près du point Z paroît de la distance EZ en latitude, celle qui est plus éloignée, paroîtra la première d'une distance moindre ; car, à égale distance du soleil, sous l'horizon, les rayons sont plus forts près du zodiaque et du soleil. Pour les étoiles d'égale grandeur qui se lèvent à la même distance en latitude, plus le zodiaque en traversant l'horizon, rend l'angle DEZ plus petit, plus grande aussi est la distance EZ, à laquelle l'étoile commencera à paroître.

Εὰν γὰρ προσεντάξωμεν, ὡς ἐν τῷ ἐφεξῆς σχήματι, διά τε τῶν τοῦ ὁρίζοντος πόλων καὶ διὰ τοῦ ἡλίου κατὰ τὸ Z, τὸ ἡμικύκλιον ὀρθὸν ἐσόμενον δηλονότι πρὸς τὸν ὁρίζοντα, τὸ HZK, ἡ μὲν τοῦ ἡλίου ἀπόστασις ὑπὸ γῆν, ἐπὶ τῶν αὐτῶν ἀστέρων, ἴση πάντοτε μένει τῇ ZΘ, διὰ τὸ τῆς οὕτως ἴσης ἀποχῆς καὶ τὰς ὑπὲρ γῆν αὐγὰς ὁμοίας εἶναι· ἡ δὲ EZ περιφέρεια, μενούσης τῆς ΘZ, ὡς ἔφαμεν, ὀρθουμένου μὲν μᾶλλον τοῦ ζωδιακοῦ, ἐλάσσων ἔσαι, κεκλιμένου δὲ, μείζων.



Car si nous ajoutons, comme dans la figure suivante, par les poles de l'horizon et par le soleil en Z, le demi-cercle HZK perpendiculaire à l'horizon, l'abaissement ou la distance du soleil sous l'horizon, sur les mêmes étoiles, sera toujours ZT, parceque c'est ainsi seulement que, la distance étant égale, la lumière du soleil sera la même. Mais TZ restant le même, comme nous avons dit, EZ diminuera si le zodiaque est plus droit sur l'horizon, et augmentera si le zodiaque est plus incliné.

Δεῖ ἄρα τηρήσεων καθ' ἕνα ἕκαστον τῶν ἀστέρων πρὸς τὴν τῆς ἡλιακῆς ὑπὸ γῆν διαστάσεως ἐπὶ τοῦ ζωδιακοῦ κατάληψιν. Κἂν μὲν μηδὲ ἡ ἐπὶ τοῦ πρὸς ὀρθὰς τῷ ὁρίζοντι διάστασις, ὡς ἐπὶ τοῦ ὑποτεταγμένου σχήματος ἡ ZΘ, ἡ αὐτὴ ᾖ κατὰ πάσας τὰς οἰκήσεις ἐπὶ τῶν αὐτῶν ἀστέρων,

Il faut donc des observations particulières pour chaque étoile, si l'on veut connoître la distance du soleil à l'horizon, mesurée sur le zodiaque. Si donc la distance sur le cercle perpendiculaire à l'horizon, comme ZT dans cette figure n'est pas la même pour toutes les contrées, quant aux mêmes étoiles, parceque leur

éclat n'est pas aussi vif dans l'air épais et grossier des climats borcaux, nous aurons besoin d'observer non seulement dans un climat, mais encore dans chacun des autres.



Mais si pour les mêmes astres, on trouve que l'arc semblable à ZT, est partout le même, comme cela est vraisemblable, (car les rayons du soleil souffrant des altérations par les diverses dispositions de l'atmosphère, les étoiles les doivent éprouver aussi); les distances observées dans un seul climat nous suffiront, pour calculer les autres par des lignes, soit que l'inclinaison du cercle mitoyen du zodiaque change pour d'autres contrées, soit qu'elle change encore par la progression démontrée de la sphère des fixes, suivant l'ordre des signes.

Car soit dans cette dernière figure, la distance EZ donnée par l'observation, dans un climat quelconque. Puisque sur les arcs HB, HZ de deux grands cercles, ont été menés les arcs BT, ZA, le rapport de la soutendante du double de l'arc AB à celle du double de l'arc BH est composé du rapport de la soutendante du double de l'arc AE à celle du double de EZ, et du rapport de la soutendante du double de l'arc ZT à celle du double de l'arc TH. Mais de ces arcs, BH et TH sont chacun des quarts de cercle, et le point E étant supposé celui avec lequel l'étoile se lève, et le point A du méridien est

διὰ τὸ μὴ τὰς ὁμοίας αὐγὰς ὡσαύτως καταλάμπειν ἐν τῷ παχυτέρῳ τῶν βορειοτέρων κλιμάτων ἀέρι, οὐ μόνον ἑνὸς κλίματος τηρήσεων δεησόμεθα, ἀλλὰ καὶ καθ' ἓν ἕκαστον τῶν λοιπῶν.

Ἐὰν δὲ ἐπὶ τῶν αὐτῶν ἀστέρων ἡ ὁμοία τῇ ΖΘ περιφέρεια ἡ αὐτὴ σώζηται πανταχῆ, ὥσπερ καὶ εἰκός, τὸ αὐτὸ γὰρ ἀνάγκη διατίθεσθαι ταῖς αὐγαῖς καὶ τοὺς ἀστέρας ὑπὸ τῆς τῶν ἀέρων διαφορᾶς. Ἀρκέσουσιν ἡμῖν καὶ αἱ καθ' ἓν μόνον κλίμα τετηρημέναι διαστάσεις, πρὸς τὸ καὶ τὰς λοιπὰς ἐπισκέπτεσθαι διὰ τῶν γραμμῶν, ἐάν τε παρὰ τὰς οἰκήσεις ἡ κλίσις ἀλλάσσηται τοῦ διὰ μέσων, ἐάν τε παρὰ τὴν εἰς τὰ ἑπόμενα τῶν μερῶν αὐτοῦ δεδειγμένην τῆς τῶν ἀπλανῶν σφαίρας μετακίνησιν.

Δεδόσθω γὰρ ἐπὶ τοῦ δεδειγμένου σχήματος ἡ ΕΖ ἀπόστασις ἐκ τηρήσεως ἑνὸς οἱουδηποτοῦν κλίματος. Εἰ τοίνυν πάλιν εἰς δύο μεγίστων κύκλων περιφερείας τήν τε ΗΒ καὶ τὴν ΗΖ διήχθησαν αἱ ΒΘ καὶ ΖΑ, ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΑΒ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΗ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΑΕ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΕΖ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΖΘ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΘΗ. Αλλὰ τῶν ἐπιζητουμένων περιφερειῶν ἡ μὲν ΒΗ καὶ ἡ ΘΗ αὐτόθεν ἐστὶν ἑκατέρα τεταρτημορίου, τοῦ δὲ Ε σημείου ὑποκειμένου ᾧ συνανατέλλει ὁ ἀστήρ, καὶ τὸ μεσουρανοῦν ἐκ τῶν ἀναφορικῶν πραγματειῶν δίδοται,

ὥστε καὶ τὴν μὲν AE διὰ τοῦτο δεδόσθαι, τὴν δὲ EZ ἐκ τῆς τηρήσεως, καὶ ἡ AH δὲ δίδοται συναγομένη ἔκ τε τῆς ὑπὸ τοῦ ἰσημερινοῦ τοῦ A σημείου διαστάσεως, ἣ δίδοται διὰ τοῦ τῆς λοξώσεως κανονίου, καὶ τῆς ἀπὸ τοῦ κατὰ κορυφὴν τοῦ ἰσημερινοῦ κατὰ τὸν αὐτὸν μεσημβρινὸν ἀποχῆς, ἥτις ἐστὶν ἴση τῷ τοῦ πόλου ἐξάρματι. Καὶ λοιπὴ ἄρα ἡ ZΘ ἔσαι δεδομένη.

donné par les tables d'ascension, il s'ensuit que l'arc AE étant donné par là même, et l'arc EZ par l'observation, AH se conclut de la distance du point A à l'équateur, laquelle est donnée par la table d'inclinaison, et par la distance de l'équateur au point vertical dans le même méridien, laquelle est égale à l'élévation du pole: ce qui donnera l'autre arc ZT.

Ταύτης δ' εὑρεθείσης καὶ μενούσης πανταχῆ τῆς αὐτῆς, δι' αὐτῆς καὶ τὰς ἐν ταῖς ἄλλαις ἐγκλίσεσι γινομένας τῆς EZ πηλικότητας ἀπὸ τῶν αὐτῶν καταλήψόμεθα. Πάλιν γὰρ ὁ μὲν τῆς ὑπὸ τὴν διπλῆν τῆς HB πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς AB λόγος συναχθήσεται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς HΘ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ZΘ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ZE πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς EA· τῶν δὲ ἐπιζητουμένων περιφερειῶν τῆς μὲν ZΘ νῦν ὑποκειμένης, δεδομένου δὲ καὶ τοῦ E συναναπελλοντος τῷ ἀστέρῳ σημείου κατὰ τὸ ἐπιζητούμενον κλίμα διὰ τῶν προϋποδεδειγμένων, ὡσαύτως τε δεδομένων καὶ τῆς τε EA περιφερείας, καὶ τῆς BA, δίδοται καὶ λοιπὴ ἡ EZ τοῦ ζωδιακοῦ περιφέρεια.

Cet arc étant trouvé et demeurant toujours le même, nous en conclurons par les mêmes moyens les grandeurs de EZ dans les autres inclinaisons. Car le rapport de la soutendante du double de l'arc HB à celle du double de l'arc AB sera encore composé du rapport de la soutendante du double de l'arc HT à celle du double de l'arc ZT, et du rapport de la soutendante du double de l'arc ZE à celle du double de l'arc EA. Mais, de ces arcs, ZT étant supposé connu, et le point E avec lequel l'astre se lève, étant donné dans le climat en question, d'après ce qui a été démontré ci-dessus, et de même les arcs EA et BA étant donnés, l'arc restant EZ du zodiaque est aussi donné.

Ὁ αὐτὸς δὲ τρόπος ἡμῖν καταναοηθήσεται τῆς ἐφόδου, καὶ ἐπὶ τῶν περὶ τὰς καταδύσεις κρύψεων, μόνης σχεδὸν ἐπὶ τοῦ αὐτοῦ σχήματος τῆς τοῦ ζωδιακοῦ θέσεως ἐπὶ τἀ ἕτερα κατὰ τὸ τῆς ἐγκλίσεως ἀκόλουθον καταγραφομένης, ὡς δυτικῆς ὑποκειμένης τῆς BΔ τοῦ ὁρίζοντος

Cette méthode nous servira également pour les disparitions des étoiles, quand elles se couchent, en ayant seulement soin de décrire de l'autre côté, dans la même figure, la position du zodiaque, conformément à l'inclinaison, l'arc BD de l'horizon étant alors supposé occi-

6	358	32	28	32	6	51	30	323	40	15	15	17	55	0
7	358	17	53	17	28	0	5	17	36	57	47	50	54	10
8	358	3	18	2	49	8	40	71	33	40	20	23	53	20
9	357	48	42	48	10	17	15	125	30	22	52	56	52	30
10	357	34	7	33	31	25	50	179	27	5	25	29	51	40
11	357	19	32	18	52	34	25	233	23	47	58	2	50	50
12	357	4	57	4	13	43	0	287	20	30	30	35	50	0
13	356	50	21	49	34	51	35	341	17	13	3	8	49	10
14	356	35	46	34	56	0	10	35	13	55	35	41	48	20
15	356	21	11	20	17	8	45	89	10	38	8	14	47	30
16	356	6	36	5	38	17	20	143	7	20	40	47	46	40
17	355	52	0	50	59	25	55	197	4	3	13	20	45	50
18	355	37	25	36	20	34	30	251	0	45	45	53	45	0

Heures.	DEGRÉS DE LONGITUDE.							DEGRÉS D'ANOMALIE.						
1	0d	2′	27″	50‴	43⁗	5⁗′	1⁗″	0d	7′	46″	0‴	17⁗	28⁗′	59⁗″
2	0	4	55	41	26	6	2	0	15	32	0	34	57	59
3	0	7	23	32	9	9	3	0	23	18	0	52	26	58
4	0	9	51	22	52	12	5	0	31	4	1	9	55	58
5	0	12	19	13	35	15	6	0	38	50	1	27	24	57
6	0	14	47	4	18	18	7	0	46	36	1	44	53	57
7	0	17	14	55	1	21	9	0	54	22	2	2	22	57
8	0	19	42	45	44	24	10	1	2	8	2	19	51	56
9	0	22	10	36	27	27	11	1	9	54	2	37	20	56
10	0	24	38	27	10	30	12	1	17	40	2	54	49	55
11	0	27	6	17	53	33	14	1	25	26	3	12	18	55
12	0	29	34	8	36	36	15	1	33	12	3	29	47	55
13	0	32	1	59	19	39	16	1	40	58	3	47	16	54
14	0	34	29	50	2	42	18	1	48	44	4	4	45	54
15	0	36	57	40	45	45	19	1	56	30	4	22	14	53
16	0	39	25	31	28	48	20	2	4	16	4	39	43	53
17	0	41	53	22	11	51	21	2	12	2	4	57	12	52
18	0	44	21	12	54	54	23	2	19	48	5	14	41	52
19	0	46	49	3	37	57	24	2	27	34	5	32	10	52
20	0	49	16	54	21	0	25	2	35	20	5	49	39	51
21	0	51	44	45	4	3	27	2	43	6	6	7	8	51
22	0	54	12	35	47	6	28	2	50	52	6	24	37	50
23	0	56	40	26	30	9	29	2	58	38	6	42	6	50
24	0	59	8	17	13	12	31	3	6	24	6	59	35	50

ΕΡΜΟΥ.

Μῆνες.	ΜΗΚΟΥΣ ΜΟΙΡΑΙ.							ΑΝΩΜΑΛΙΑΣ ΜΟΙΡΑΙ.						
λ	κθ̄	λδ'	η''	λς'''	λς''''	ιε'''''	λ''''''	ϟγ̄	ιϐ'	γ''	κθ'''	μζ'''	νε'''''	ο̄''''''
ξ	νθ	η	ιζ	ιγ	ιϐ	λα	ο̄	ρπς	κδ	ς	νθ	λε	ν	ο̄
ϟ	πη	μϐ	κε	μθ	μη	μς	λ	σοθ	λς	ι	κθ	κγ	με	ο̄
ρκ	ριη	ις	λδ	κς	κε	β	ο̄	ιϐ	μη	ιγ	νθ	ια	μ	ο̄
ρν	ρμζ	ν	μγ	γ	α	ιζ	λ	ρς	ο̄	ιζ	κη	νθ	λε	ο̄
ρπ	ροζ	κδ	να	λθ	λζ	λγ	ο̄	ρϟθ	ιϐ	κ	νη	μζ	λ	ο̄
σι	σς	νθ	ο̄	ις	ιγ	μη	λ	σϟϐ	κδ	κδ	κη	λε	κε	ο̄
σμ	σλς	λγ	η	νϐ	ν	δ	ο̄	κε	λς	κζ	νη	κγ	κ	ο̄
σο	σξς	ζ	ιζ	κθ	κς	ιθ	λ	ριη	μη	λα	κη	ια	ιε	ο̄
τ	σϟε	μα	κς	ς	β	λε	ο̄	σιϐ	ο̄	λδ	νζ	νθ	ι	ο̄
τλ	τκε	ιε	λδ	μϐ	λη	ν	λ	τε	ιϐ	λη	κζ	μζ	ε	ο̄
τξ	τνδ	μθ	μγ	ιθ	ιε	ς	ο̄	λη	κδ	μα	νζ	λε	ο̄	ο̄
Ημέραι.	ΜΗΚΟΥΣ ΜΟΙΡΑΙ.							ΑΝΩΜΑΛΙΑΣ ΜΟΙΡΑΙ.						
α	ο̄	νθ'	η''	ιζ'''	ιγ''''	ιϐ'''''	λα''''''	γ̄	ς'	κδ''	ς'''	νθ''''	λε'''''	ν''''''
β	α	νη	ις	λδ	κς	κε	β	ς	ιϐ	μη	ιγ	νθ	ια	μ
γ	β	νζ	κδ	να	λθ	λζ	λγ	θ	ιθ	ιϐ	κ	νη	μζ	λ
δ	γ	νς	λγ	η	νϐ	ν	δ	ιϐ	κε	λς	κζ	νη	κγ	κ
ε	δ	νε	μα	κς	ς	β	λε	ιε	λϐ	ο̄	λδ	νζ	νθ	ι
ς	ε	νδ	μθ	μγ	ιθ	ιε	ς	ιη	λη	κδ	μα	νζ	λε	ο̄
ζ	ς	νγ	νη	ο̄	λϐ	κζ	λζ	κα	μδ	μη	μη	νζ	ι	ν
η	ζ	νγ	ς	ιζ	με	μ	η	κδ	να	ιϐ	νε	νς	μς	μ
θ	η	νϐ	ιδ	λδ	νη	νϐ	λθ	κζ	νζ	λζ	β	νς	κϐ	λ
ι	θ	να	κϐ	νϐ	ιϐ	ε	ι	λα	δ	α	θ	νε	νη	κ
ια	ι	ν	λα	θ	κε	ιζ	μα	λδ	ι	κε	ις	νε	λδ	ι
ιβ	ια	μθ	λθ	κς	λη	λ	ιϐ	λζ	ις	μθ	κγ	νε	ι	ο̄
ιγ	ιϐ	μη	μζ	μγ	να	μϐ	μγ	μ	κγ	ιγ	λ	νδ	με	ν
ιδ	ιγ	μζ	νς	α	δ	νε	ιδ	μγ	κθ	λζ	λζ	νδ	κα	μ
ιε	ιδ	μζ	δ	ιη	ιη	ζ	με	μς	λς	α	μδ	νγ	νζ	λ
ις	ιε	μς	ιϐ	λε	λα	κ	ις	μθ	μϐ	κε	να	νγ	λγ	κ
ιζ	ις	με	κ	νϐ	μδ	λϐ	μζ	νϐ	μη	μθ	νη	νγ	θ	ι
ιη	ιζ	μδ	κθ	θ	νζ	με	ιη	νε	νε	ιδ	ε	νϐ	με	ο̄
ιθ	ιη	μγ	λζ	κζ	ι	νζ	μθ	νθ	α	λη	ιϐ	νϐ	κ	ν
κ	ιθ	μϐ	με	μδ	κδ	ι	κ	ξϐ	η	β	ιθ	να	νς	μ
κα	κ	μα	νδ	α	λζ	κϐ	να	ξε	ιδ	κς	κς	να	λϐ	λ
κβ	κα	μα	β	ιη	ν	λε	κϐ	ξη	κ	ν	λγ	να	η	κ
κγ	κϐ	μ	ι	λς	γ	μζ	νγ	οα	κζ	ιδ	μ	ν	μδ	ι
κδ	κγ	λθ	ιη	νγ	ιζ	ο̄	κδ	οδ	λγ	λη	μζ	ν	κ	ο̄
κε	κδ	λη	κζ	ι	λ	ιϐ	νε	οζ	μ	β	νδ	μθ	νε	ν
κς	κε	λζ	λε	κζ	μγ	κε	κς	π	μς	κζ	α	μθ	λα	μ
κζ	κς	λς	μγ	μδ	νς	λζ	νζ	πγ	νϐ	να	η	μθ	ζ	λ
κη	κζ	λε	νϐ	β	θ	ν	κη	πς	νθ	ιε	ιε	μη	μγ	κ
κθ	κη	λε	ο̄	ιθ	κγ	β	νθ	ϟ	ε	λθ	κϐ	μη	ιθ	ι
λ	κθ	λδ	η	λς	λς	ιε	λ	ϟγ	ιϐ	γ	κθ	μζ	νε	ο̄

MERCURE.

Mois.	DEGRÉS DE LONGITUDE.							DEGRÉS D'ANOMALIE.						
30	29d	34′	8″	56‴	36⁗	15⁗′	30⁗″	93d	12′	3″	29‴	47⁗	55⁗′	0⁗″
60	59	8	17	13	12	31	0	186	24	6	59	35	50	0
90	88	43	25	49	48	46	30	279	36	10	29	23	45	0
120	118	16	34	26	25	2	0	12	48	13	59	11	40	0
150	147	50	43	3	1	17	30	106	0	17	28	59	35	0
180	177	24	51	39	37	33	0	199	12	20	58	47	30	0
210	206	59	0	16	13	48	30	292	24	24	28	35	25	0
240	236	33	8	52	50	4	0	25	36	27	58	23	20	0
270	266	7	17	29	26	19	30	118	48	31	28	11	15	0
300	295	41	26	6	2	35	0	212	0	34	57	59	10	0
330	325	15	34	42	38	50	30	305	12	38	27	47	5	0
360	354	49	43	19	15	6	0	38	24	41	57	35	0	0

Jours.	DEGRÉS DE LONGITUDE.							DEGRÉS D'ANOMALIE.						
1	0d	59′	8″	17‴	13⁗	12⁗′	31⁗″	3d	6′	24″	6‴	59⁗	35⁗′	50⁗″
2	1	58	16	34	26	25	2	6	12	48	13	59	11	40
3	2	57	24	51	39	37	33	9	19	12	20	58	47	30
4	3	56	33	8	52	50	4	12	25	36	27	58	23	20
5	4	55	41	26	6	2	35	15	32	0	34	57	59	10
6	5	54	49	43	19	15	6	18	38	24	41	57	35	0
7	6	53	58	0	32	27	37	21	44	48	48	57	10	50
8	7	53	6	17	45	40	8	24	51	12	55	56	46	40
9	8	52	14	34	58	52	39	27	57	37	2	56	22	30
10	9	51	22	52	12	5	10	31	4	1	9	55	58	20
11	10	50	31	9	25	17	41	34	10	25	16	55	34	10
12	11	49	39	26	38	30	12	37	16	49	23	55	10	0
13	12	48	47	43	51	42	43	40	23	13	30	54	45	50
14	13	47	56	1	4	55	14	43	29	37	37	54	21	40
15	14	47	4	18	18	7	45	46	36	1	44	53	57	30
16	15	46	12	35	31	20	16	49	42	25	51	53	33	20
17	16	45	20	52	44	32	47	52	48	49	58	53	9	10
18	17	44	29	9	57	45	18	55	55	14	5	52	45	0
19	18	43	37	27	10	57	49	59	1	38	12	52	20	50
20	19	42	45	44	24	10	20	62	8	2	19	51	56	40
21	20	41	54	1	37	22	51	65	14	26	26	51	32	30
22	21	41	2	18	50	35	22	68	20	50	33	51	8	20
23	22	40	10	36	3	47	53	71	27	14	40	50	44	10
24	23	39	18	53	17	0	24	74	33	38	47	50	20	0
25	24	38	27	10	30	12	55	77	40	2	54	49	55	50
26	25	37	35	27	43	25	26	80	46	27	1	49	31	40
27	26	36	43	44	56	37	57	83	52	51	8	49	7	30
28	27	35	52	2	9	50	28	86	59	15	15	48	43	20
29	28	35	0	19	23	2	59	90	5	39	22	48	19	10
30	29	34	8	36	36	15	30	93	12	3	29	47	55	0

CHAPITRE V.

PRÉLIMINAIRES POUR LES HYPOTHÈSES DES CINQ PLANÈTES.

Ayant à parler actuellement, d'après cet exposé des anomalies, des mouvemens des cinq planètes en longitude, je les ai représentés d'une manière générale par les moyens suivants.

Deux mouvemens très-simples suffisent comme nous avons déjà dit, pour expliquer ce que nous nous proposons : l'un se fait par des cercles excentriques au zodiaque, l'autre par des cercles qui lui sont concentriques, mais qui portent des épicycles. Et pareillement chacune des planètes paroissant avoir deux anomalies, l'une qui se remarque relativement aux degrés du zodiaque, et l'autre par rapport au soleil; nous trouvons dans celle-ci par la constance des différentes configurations relativement aux mêmes portions du zodiaque, pour les cinq planètes, qu'elles employent toujours un temps plus long pour aller du plus grand mouvement au moyen, que pour aller du moyen au plus petit. Cet effet ne peut pas être une conséquence du mouvement dans l'excentrique qui produiroit des apparences toutes contraires, vu que, chose qui arrive par l'effet de l'excentricité, le plus grand mouvement s'y fait toujours dans le périgée; et que, dans nos deux suppositions, l'arc compris depuis le périgée jusqu'au point du mou-

ΚΕΦΑΛΑΙΟΝ Ε.

ΠΡΟΛΑΜΒΑΝΟΜΕΝΑ ΕΙΣ ΤΑΣ ΥΠΟΘΕΣΕΙΣ ΤΩΝ ΠΕΝΤΕ ΠΛΑΝΩΜΕΝΩΝ.

Ἐξῆς δ' ὄντος τῇ τούτων ἐκθέσει τοῦ περὶ τῶν ἀνωμαλιῶν λόγου, τῶν γινομένων ἐπὶ τῆς κατὰ μῆκος παρόδων τῶν πέντε πλανωμένων, ἡ μὲν κατὰ τὸ ὁλοσχερὲς τῶν ὑποτυπώσεων ἐπιβολὴ γέγονεν ἡμῖν διὰ τῶν τοιούτων.

Τῶν γὰρ ἁπλουσάτων ἅμα καὶ ἱκανῶν πρὸς τὸ προκείμενον κινήσεων δύο οὐσῶν, ὡς ἔφαμεν, τῆς τε δι' ἐκκέντρων κύκλων ὡς πρὸς τὸν ζωδιακὸν ἀποτελουμένης, καὶ τῆς δι' ὁμοκέντρων μὲν, ἐπικύκλους δὲ περιφερόντων, ὁμοίως δὲ καὶ τῶν κατ' ἕνα ἕκαστον ἀστέρα φαινομένων ἀνωμαλιῶν δύο οὐσῶν, τῆς τε παρὰ τὰ τοῦ ζωδιακοῦ μέρη θεωρουμένης, καὶ τῆς παρὰ τοὺς πρὸς τὸν ἥλιον σχηματισμούς, ἐπὶ μὲν ταύτης εὑρίσκομεν ἐκ τῶν συνεχῶν καὶ περὶ τὰ αὐτὰ μέρη τοῦ ζωδιακοῦ τηρουμένων διαφόρων σχηματισμῶν, καὶ ἐπὶ τῶν πέντε πλανωμένων τὸν ἀπὸ τῆς μεγίστης κινήσεως ἐπὶ τὴν μέσην χρόνον, μείζονα πάντοτε γινόμενον τοῦ ἀπὸ τῆς μέσης ἐπὶ τὴν ἐλαχίστην, τοῦ τοιούτου συμπτώματος ἐπὶ μὲν τῆς κατ' ἐκκεντρότητα ὑποθέσεως παρακολουθῆσαι μὴ δυναμένου, ἀλλὰ τοῦ ἐναντίου, διὰ τὸ πάντοτε μὲν αὐτῇ τὴν μεγίστην πάροδον κατὰ τὸ περιγειότατον ἀποτελεῖσθαι, ἐλάσσονα δὲ εἶναι, καὶ ἐπ' ἀμφοτέρων τῶν ὑποθέσεων τὴν ἀπὸ τοῦ περιγείου μέχρι

τοῦ κατὰ τὴν μέσην πάροδον σημείου περιφέρειαν, τῆς ἀπὸ τούτου μέχρι τοῦ ἀπογείου, κατὰ δὲ τὴν τῶν ἐπικύκλων δυναμένου συμβαίνειν, ὅταν ἡ μεγίστη μέντοι πάροδος, μὴ κατὰ τὸ περίγειον ὥσπερ ἐπὶ τῆς σελήνης, ἀλλὰ κατὰ τὸ ἀπόγειον ἀποτελῆται, τουτέστιν ὅταν ὁ ἀστὴρ ἀρχόμενος ἀπὸ τοῦ ἀπογείου μὴ ὡς ἐπὶ τὰ προηγούμενα τοῦ κόσμου τῇ σελήνῃ παραπλησίως, ἀλλ' ὡς ἐπὶ τὰ ἑπόμενα ποιῆται τὴν μετάβασιν. Οθεν καὶ τὴν τοιαύτην ἀνωμαλίαν διὰ τῶν ἐπικύκλων ὑπεθέμεθα συμβαίνειν.

vement moyen, est plus petit que celui qui est entre ce point et l'apogée; au lieu que dans la supposition des épicycles cet effet peut avoir lieu quand le plus grand mouvement ne se fait pas dans le périgée, comme pour la lune, mais dans l'apogée; c'est-à-dire, quand l'astre commençant à se mouvoir depuis l'apogée, marche non vers l'occident, comme la lune, mais vers l'orient. C'est pour cela que nous supposons que cette anomalie s'opère par des épicycles.

Επὶ δὲ τῆς πρὸς τὰ τοῦ ζωδιακοῦ μέρη θεωρουμένης ἀνωμαλίας, τὸ ἐναντίον εὑρίσκομεν, διὰ τῶν ἐπὶ τὰς αὐτὰς φάσεις, ἢ τοὺς αὐτοὺς σχηματισμοὺς ἐπιλαμβανομένων τοῦ ζωδιακοῦ περιφερειῶν, τὸν ἀπὸ τῆς ἐλαχίστης κινήσεως ἐπὶ τὴν μέσην χρόνον μείζονα γιγνόμενον αἰεὶ τοῦ ἀπὸ τῆς μέσης ἐπὶ τὴν μεγίστην, τοῦ τοιούτου πάλιν συμπτώματος, καὶ καθ' ἑκατέραν μὲν τῶν ὑποθέσεων δυναμένου παρακολουθεῖν, ὃν τρόπον ἐν τοῖς περὶ τῆς ὁμοιότητος αὐτῶν, ἐν ἀρχῇ τῆς τοῦ ἡλίου συντάξεως διεξήλθομεν, οἰκείου δὲ ὄντος μᾶλλον τῆς κατ' ἐκκεντρότητα, καθ' ἣν καὶ ὑποτιθέμεθα τὴν τοιαύτην ἀνωμαλίαν ἀποτελεῖσθαι, διὰ τὸ καὶ τὴν ἑτέραν μόνης τῆς κατ' ἐπίκυκλον ἰδίαν ὥσπερ εὑρῆσθαι.

Quant à l'anomalie considérée relativement aux parties du zodiaque, nous trouvons tout le contraire par les arcs du zodiaque parcourus dans les mêmes phases, ou dans les mêmes configurations, car le temps depuis le moindre mouvement moyen, y est toujours plus grand que celui du moyen au plus grand. Cette circonstance peut se rencontrer dans l'une et l'autre supposition, comme nous l'avons énoncé au commencement de ce que nous avons dit du soleil, en parlant de la ressemblance de ces deux suppositions: mais cette même circonstance est particulièrement propre à l'hypothèse de l'excentricité, dans laquelle nous supposons que cette anomalie a lieu, parceque nous trouvons que l'autre ne convient qu'à l'hypothèse des épicycles.

Ηδη δὲ διὰ τῆς τῶν κατὰ μέρος τετηρημένων παρόδων, ἐπὶ τὰς συνισαμένας ἀγωγὰς ἐκ τῆς συμμίξεως ἀμφοτέρων τῶν ὑποθέσεων προσβολῆς, καὶ ἀνακρίσεως συνεχοῦς, οὐχ' οὕτως ἁπλῶς εὑρίσκομεν

Mais déjà, par les mouvemens observés en détail, en appliquant ces deux hypothèses aux lieux qui résulteroient de leur combinaison, et par leur comparaison perpétuelle, nous n'avons pas trouvé

que cela puisse se passer aussi simplement, ni que les plans dans lesquels nous décrivons les cercles excentriques, soient sans mouvement, ni que la ligne droite qui joint leurs centres et celui de l'écliptique, et sur laquelle se voyent les apogées et les périgées, reste toujours dans les mêmes distances depuis les points tropiques et équinoxiaux. Nous ne voyons pas que les épicycles ayent leurs centres portés sur ces cercles excentriques, dont les centres soient ceux autour desquels en se mouvant uniformément selon la suite des signes, ils interceptent des angles égaux en temps égaux. Mais les apogées des excentriques faisant un petit mouvement selon l'ordre des signes, qui est uniforme autour du centre du zodiaque, on s'aperçoit par les phénomènes actuels, que cette progression est pour chaque planète, de la même quantité presque, que celle dont on voit la sphère des étoiles fixes faire cette progression, c'est-à-dire d'un degré en cent ans. Autant qu'on en peut juger, les centres des épicycles sont dans des cercles égaux, il est vrai, aux excentriques qui font l'irrégularité (*ou l'anomalie*) quoique non décrits autour des mêmes centres, mais autour d'autres centres qui partagent également les lignes menées de ces centres à celui du zodiaque. Pour Mercure seul, le cercle est décrit autour d'un centre autant éloigné de celui qui fait tourner cet astre, que ce centre-ci est éloigné de celui qui fait l'anomalie ou l'irrégularité, comme dans l'apogée, celui-ci est éloigné du point où l'œil est supposé. Car nous trouvons pour cet astre seul, comme pour la lune, que le cercle excentrique est

δυνάμενον προχωρεῖν, οὔτε τὸ τὰ ἐπίπεδα, ἐν οἷς τοὺς ἐκκέντρους κύκλους γράφομεν, ἀκίνητα εἶναι, μενούσης ἀεὶ κατὰ τὰς αὐτὰς ἀπὸ τῶν τροπικῶν, ἢ ἰσημερινῶν σημείων διαστάσεις, τῆς δι' ἀμφοτέρων τῶν κέντρων αὐτῶν τε καὶ τοῦ διὰ μέσων εὐθείας, καθ' ἣν τά τε ἀπόγεια καὶ τὰ περίγεια θεωρεῖται, οὔτε τὸ τοὺς ἐπικύκλους ἐπὶ τούτων τῶν ἐκκέντρων ἔχειν φερόμενα τὰ κέντρα ἑαυτῶν, ὧν ἐστι τὰ κέντρα, πρὸς οἷς τὴν εἰς τὰ ἑπόμενα κίνησιν ὁμαλῶς περιαγόμενα, τὰς ἴσας ἐν τοῖς ἴσοις χρόνοις γωνίας ἀπολαμβάνουσιν· ἀλλὰ καὶ τὰ ἀπόγεια τῶν ἐκκέντρων ποιούμενά τινα βραχεῖαν εἰς τὰ ἑπόμενα τῶν τροπικῶν σημείων μετάβασιν, ὁμαλήν τε πάλιν ὡς περὶ τὸ τοῦ ζωδιακοῦ κέντρον, καὶ σχεδὸν καθ' ἕκαστον ἀστέρα, ὅσην καὶ ἡ τῶν ἀπλανῶν σφαῖρα κατείληπται ποιουμένη, τουτέστιν ἐν τοῖς $\overline{\rho}$ ἔτεσι μίαν μοῖραν, καθ' ὅσον τέ ἐστιν ἐκ τῶν παρόντων συνιδεῖν· καὶ τὰ κέντρα τῶν ἐπικύκλων, ἐπὶ ἴσων μὲν κύκλων τοῖς τὴν ἀνωμαλίαν ποιοῦσιν ἐκκέντροις φερόμενα, μὴ τοῖς αὐτοῖς δὲ κέντροις γεγραμμένων, ἀλλὰ ἐπὶ μὲν τῶν ἄλλων τοῖς δίχα τέμνουσι τὰς μεταξὺ τῶν κέντρων εὐθείας, ἐκείνων τε καὶ τοῦ ζωδιακοῦ· ἐπὶ δὲ μόνου τοῦ τοῦ Ερμοῦ τῷ τοσοῦτον ἀπέχοντι τοῦ περιάγοντος αὐτὸ κέντρου, ὅσον ἐκεῖνό τε τοῦ τὴν ἀνωμαλίαν ποιοῦντος, ὡς πρὸς τὸ ἀπόγειον ἀπέχει καὶ τοῦτο τοῦ κατὰ τὴν ὄψιν ὑποτιθεμένου· καὶ γὰρ καὶ ἐπὶ τούτου τοῦ ἀστέρος μόνου, καθάπερ καὶ ἐπὶ τῆς σελήνης εὑρίσκομεν, καὶ τὸν ἔκκεντρον κύκλον ἀντιπεριαγόμενον ὑπὸ τοῦ

προειρημένου κέντρου τῷ ἐπικύκλῳ πάλιν εἰς τὰ προηγούμενα μίαν ἐν τῷ ἐνιαυτῷ περιφοράν· ἐπειδὴ καὶ αὐτὸς δὶς ἐν τῇ μιᾷ περιόδῳ περιγειότατος φαίνεται γινόμενος, καθάπερ καὶ ἡ σελήνη δὶς ἐν τῷ ἑνὶ μηνί.

transporté par ce centre contre l'ordre des signes en sens contraire à l'épicycle, de manière à faire une révolution en un an, puisque cet astre paraît deux fois périgée pendant qu'il fait un seul tour, comme la lune est deux fois périgée en chaque mois.

ΚΕΦΑΛΑΙΟΝ ς.

ΠΕΡΙ ΤΟΥ ΤΡΟΠΟΥ ΚΑΙ ΤΗΣ ΔΙΑΦΟΡΑΣ ΤΩΝ ΥΠΟΘΕΣΕΩΝ.

Γενοιτο δ' ἂν μᾶλλον εὐκατανόητος ὁ τῶν διὰ τὰ προκείμενα συναγομένων ὑποθέσεων τρόπος τοιοῦτος· νοείσθω γὰρ ἐπὶ τῆς τῶν ἄλλων ὑποθέσεως πρῶτον ἔκκεντρος μὲν κύκλος ὁ ΑΒΓ, περὶ κέντρον τὸ Δ, ἡ δὲ διὰ τοῦ Δ καὶ τοῦ κέντρου τοῦ ζωδιακοῦ διάμετρος, ἡ ΑΔΓ, ἐφ' ἧς τὸ τοῦ ζωδιακοῦ κέντρον, τουτέστιν ἡ ὄψις τῶν ὁρώντων τὸ Ε, ποιείτω τὸ μὲν Α σημεῖον τὸ ἀπογειότατον, τὸ δὲ Γ τὸ περιγειότατον. Τμηθείσης δὲ τῆς ΔΕ δίχα κατὰ τὸ Ζ, γεγράφθω κέντρῳ τῷ Ζ καὶ διαστήματι τῷ ΔΑ κύκλος, ἴσος δηλονότι τῷ ΑΒΓ, ὁ ΗΘΚ. Καὶ κέντρῳ τῷ Θ, γεγράφθω ἐπικυκλος ὁ ΛΜ, καὶ ἐπεζεύχθω ἡ ΛΘΜΔ.



Ὑποτιθέμεθα δὴ πρῶτον λελοξῶσθαι μὲν τότε τῶν ἐκκέντρων κύκλων ἐπίπεδον πρὸς τὸ τοῦ διὰ μέσων τῶν ζωδίων, καὶ ἔτι τὸ τοῦ ἐπικύκλου πρὸς τὸ τῶν ἐκκέντρων, ἕνεκεν τῆς κατὰ πλάτος παρόδου τῶν ἀστέρων κατὰ τὰ περὶ τοῦ.

CHAPITRE VI.

DU MODE ET DE LA DIFFÉRENCE DE CES HYPOTHÈSES

Pour faire mieux comprendre en quoi consistent les diverses hypothèses dont je viens de parler, soit d'abord pour les autres planètes, le cercle excentrique ABG décrit autour du centre D, et le diamètre ADG qui passe par le centre D et par le centre du zodiaque; sur ce diamètre soit le centre E du zodiaque, c'est-à-dire le point d'où l'œil de l'observateur regarde, A l'apogée et G le périgée. DE étant coupé en deux moitiés au point Z, décrivez de ce point Z et de l'intervalle DA, un cercle KTH égal à ABG, et autour du point T l'épicycle LM, et joignez LTMD.

D'abord nous supposons que le plan des cercles excentriques est oblique sur celui de l'écliptique, et celui de l'épicycle sur celui des excentriques, à cause du mouvement des astres en latitude, suivant les démonstrations que nous en don-

nerons. Quant à leurs mouvemens en longitude, nous supposons pour que cela soit plus commode, qu'ils se font tous dans le plan du zodiaque; il n'en résultera aucune différence considérable pour la longitude par les inclinaisons telles que nous les montrerons pour chaque astre. Ensuite nous disons que ces plans font leurs révolutions uniformément autour du centre E suivant l'ordre des signes, en faisant avancer les apogées et les périgées, d'un degré en 100 ans; et que le diamètre LTM de l'épicycle est emporté autour du centre D, uniformément encore suivant l'ordre des signes, conséquemment au retour de l'astre, en longitude, et qu'il transporte circulairement les points L, M, de l'épicycle, et le centre toujours porté par l'excentrique HTK, et qu'enfin l'astre lui-même en se mouvant uniformément dans l'épicycle LM, revient au même point sur le diamètre toujours dirigé vers le centre D, conséquemment au mouvement moyen de l'anomalie relative au soleil, la progression L se faisant suivant l'ordre des signes.



Quant à la propriété particulière à l'hypothèse de Mercure, voici comment nous la représenterons: soit ABG le cercle excentrique de l'anomalie, décrit autour du centre D, ADEG le diamètre passant par D, par le centre E du zodiaque, et par l'apogée A; et soit prise

των ἡμῖν ἀποδειχθησόμενα· πρὸς δὲ τὰς κατὰ μῆκος παρόδους, τῆς εὐχρησίας ἕνεκεν ἐν ἑνὶ τῷ τοῦ ζωδιακοῦ ἐπιπέδῳ θεῖσθαι πάντας, μηδεμιᾶς ἐσομένης ἐπὶ τοῦ μήκους ἀξιολόγου διαφορᾶς παρά γε τὰς τηλικαύτας ἐγκλίσεις, ἡλίκαι καθ' ἕνα ἕκαστον τῶν ἀστέρων ἀναφανήσονται. Ἐπειτα τὸ μὲν ἐπίπεδον ὅλον ὁμαλῶς εἰς τὰ ἑπόμενα τῶν ζωδίων φαμὲν περιάγεσθαι περὶ τὸ Ε κέντρον μεταβιβάζον τά τε ἀπόγεια καὶ τὰ περίγεια δι' ἐτῶν $\overline{ρ}$, μοῖραν μίαν, τὴν δὲ ΛΘΜ διάμετρον τοῦ ἐπικύκλου περιάγεσθαι μὲν ὑπὸ τοῦ Δ κέντρου πάλιν ὁμαλῶς εἰς τὰ ἑπόμενα τῶν ζωδίων ἀκολούθως τῇ κατὰ μῆκος τοῦ ἀστέρος ἀποκαταστάσει, συμπεριάγειν δὲ τά τε Λ Μ σημεῖα τοῦ ἐπικύκλου καὶ τὸ Θ κέντρον φερόμενον πάντοτε διὰ τοῦ ΗΘΚ ἐκκέντρου, καὶ τὸν ἀστέρα δὲ αὐτὸν κινούμενον ἐπὶ τοῦ ΛΜ ἐπικύκλου πάλιν ὁμαλῶς, καὶ πρὸς τὴν ἐπὶ τὸ Δ κέντρον νεύουσαν πάντοτε διάμετρον, ποιούμενον τὰς ἀποκαταστάσεις ἀκολούθως τῇ μέσῃ περιόδῳ τῆς πρὸς τὸν ἥλιον ἀνωμαλίας, καὶ ὡς τῆς κατὰ τὸ Λ ἀπόγειον μεταβάσεως, ὡς ἐπὶ τὰ ἑπόμενα τῶν ζωδίων ἀποτελουμένης.

Τὸ δὲ ἐπὶ τοῦ τοῦ Ερμοῦ τῆς ὑποθέσεως ἴδιον, λάβοιμεν ἂν ὑπ' ὄψιν οὕτως· ἐσω γὰρ ὁ μὲν τῆς ἀνωμαλίας ἔκκεντρος κύκλος ὁ ΑΒΓ περὶ κέντρον τὸ Δ, ἡ δὲ διὰ τοῦ Δ καὶ τοῦ Ε κέντρου τοῦ ζωδιακοῦ διὰ τοῦ Α ἀπογείου διάμετρος ἡ ΑΔΕΓ· εἰλήφθω τε ἐπὶ τῆς ΑΓ τῇ ΔΕ

ὡς πρὸς τὸ Α ἀπόγειον, ἴση ἡ ΔΖ. Τῶν ἄλλων τοίνυν μενόντων τῶν αὐτῶν, τουτέστιν ὅλου τε τοῦ ἐπιπέδου περὶ τὸ Ε κέντρον εἰς τὰ ἑπόμενα τὸ ἀπόγειον μεταφέροντος, ὅσον καὶ ἐπὶ τῶν ἄλλων ἀστέρων, καὶ τοῦ ἐπικύκλου περὶ τὸ Δ κέντρον ὁμαλῶς εἰς τὰ ἑπόμενα περιαγομένου, ὡς ὑπὸ τῆς ΔΒ εὐθείας, καὶ ἔτι τοῦ ἀστέρος ἐπὶ τοῦ ἐπικύκλου κινουμένου παραπλησίως τοῖς ἄλλοις, ἐνθάδε τὸ κέντρον τοῦ ἑτέρου ἐκκέντρου, ἐφ' οὗ πάντοτε ἴσου πάλιν ὄντος τῷ πρώτῳ τὸ κέντρον ἔσαι τοῦ ἐπικύκλου, περιενεχθήσεται μὲν περὶ τὸ Ζ σημεῖον εἰς τὰ ἐναντία τῷ ἐπικύκλῳ, τουτέστιν εἰς τὰ προηγούμενα τῶν ζωδίων ὁμαλῶς τε καὶ ἰσοταχῶς αὐτῷ, ὡς ὑπὸ τῆς ΖΗΘ εὐθείας, ὥστε πρὸς μὲν τὰ τοῦ ζωδιακοῦ σημεῖα ἅπαξ ἑκατέραν τῶν ΔΒ καὶ ΖΗΘ εὐθειῶν ἐν τῷ ἐνιαυτῷ ἀποκαθίσασθαι, δὶς δὲ δῆλον ὅτι πρὸς ἀλλήλας. Ἀφέξει δ' αἰεὶ τοῦ Ζ σημείου καὶ αὐτὸ τὴν ἴσην ὁποτέρᾳ τῶν ΕΔ καὶ ΔΖ εὐθειῶν, ὡς πρὸς τὴν ΖΗ· ὥστε τὸν γραφόμενον ὑπὸ τῆς εἰς τὰ προηγούμενα κινήσεως αὐτοῦ κυκλίσκον, κέντρῳ τῷ Ζ καὶ διαστήματι τῷ ΖΗ, διὰ παντὸς ἀφορίζεσθαι ἢ ὑπὸ τοῦ Δ κέντρου τοῦ πρώτου καὶ μένοντος ἐκκέντρου· καὶ γράφεσθαι μὲν τὸν κινούμενον ἔκκεντρον ἑκάστοτε κέντρῳ τῷ Η καὶ διαστήματι τῷ ΗΘ ἴσῳ ὄντι τῷ ΔΑ, ὡς ἐνθάδε τὸν ΘΚ· τὸν δὲ ἐπίκυκλον ἐπ' αὐτοῦ πάντοτε τὸ κέντρον ἔχειν, ὡς ἐνθάδε κατὰ τὸ Κ σημεῖον. Καὶ μᾶλλον δ' ἂν ἔτι παρακολου-



sur AG, vers l'apogée A, DZ égale à DE. Les autres circonstances restant les mêmes, c'est-à-dire tout le plan emportant l'apogée autour du centre E suivant l'ordre des signes, de même que pour les autres astres, et l'épicycle se mouvant uniformément autour du centre D suivant l'ordre des signes comme par la droite DB, pendant que l'astre se meut dans l'épicycle comme font les autres astres, ici le centre de l'autre excentrique égal au premier, et sur lequel sera le centre de l'épicycle, sera porté autour du point Z en sens contraire à l'épicycle, c'est-à-dire vers l'occident, uniformément et avec la même vîtesse que lui, comme par la droite ZHT, ensorte que chacune des droites DB, ZHT, reviendra une fois chaque année aux points du zodiaque, et passera deux fois l'une sur l'autre. Mais ce centre du second excentrique sera toujours à une distance ZH, du point Z, égale à l'une et à l'autre des droites ED et DZ. Ainsi, le petit cercle décrit par son mouvement vers l'occident, du centre Z et de l'intervalle ZH, sera terminé par le le centre D du premier excentrique qui reste constant ; mais l'excentrique mobile sera toujours décrit du centre H et de l'intervalle HT égal à DA; et enfin l'épicycle aura son centre sur cet excentrique mobile, comme ici au point K. Mais nous suivrons mieux ces suppositions,

d'après les démonstrations des grandeurs particulières, où l'on verra plus sensiblement les motifs qui ont déterminé ces hypothèses.

Il est bon de prévenir cependant, que les mouvemens en longitude ne revenant pas avec les points de l'écliptique, ni avec les apogées ou les périgées des excentriques, à cause de leur transport en même temps, les mouvemens en longitude tels que nous les avons exposés, ne comprennent pas les retours considérés relativement aux apogées des excentriques, mais ceux qui se font aux points tropiques et équinoxiaux, dans le temps d'une de nos années. Il faut donc montrer d'abord que, suivant ces hypothèses, quand le lieu moyen de l'astre en longitude, est également éloigné de part et d'autre des apogées ou des périgées, alors la différence provenant de l'anomalie zodiacale devient égale en l'une et l'autre distance, ainsi que la plus grande distance dans l'épicycle, aux mêmes points du lieu moyen.

Soit ABGD, le cercle excentrique sur lequel est porté l'épicycle, ayant pour centre E et pour diamètre AEG, sur lequel supposons que le point Z est le centre du zodiaque, et que le point H est le centre du cercle excentrique qui fait l'anomalie, c'est-à-dire sur lequel nous disons que se fait uniformément le mouvement moyen



θήσαιμεν τοῖς ὑποτιθεμένοις ἐκ τῶν καθ' ἕνα ἕκαστον εἰς τὰς πηλικότητας τῶν αὐτῶν ἀποδειχθησομένων, ἐν οἷς καὶ τὰ κινήσαντά πως πρὸς τὰς ἐπιβολὰς τῶν ὑποθέσεων τυπωδέστερον πολλαχῆ καταφανήσεται.

Προληπτέον μέντοι διότι τῶν κατὰ μῆκος περιόδων μὴ συναποκαθισαμένων τοῖς τε τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου σημείοις, καὶ τοῖς τῶν ἐκκέντρων ἀπογείοις ἢ περιγείοις, διὰ τὴν ὑποκειμένην αὐτῶν μετάπτωσιν, αἱ κατὰ τὸν προκείμενον τρόπον ἡμῖν ἐκτεθειμέναι κατὰ μῆκος κινήσεις, οὐ τὰς πρὸς τὰ ἀπόγεια τῶν ἐκκέντρων θεωρουμένας ἀποκαταστάσεις περιέχουσιν, ἀλλὰ τὰς πρὸς τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα γινομένας ἀκολούθως τῷ καθ' ἡμᾶς ἐνιαυσίῳ χρόνῳ. Δεικτέον δὴ πρῶτον ὅτι καὶ κατὰ ταύτας τὰς ὑποθέσεις, ὅταν ἡ κατὰ μῆκος μέση πάροδος τοῦ ἀστέρος ἴσον ἑκατέρωθεν ἀπέχῃ τῶν ἀπογείων ἢ τῶν περιγείων, τότε τὸ παρὰ τὴν ζωδιακὴν ἀνωμαλίαν διάφορον, ἴσον καθ' ἑκατέραν ἀποχὴν συνίσταται, καὶ ἡ κατὰ τὸν ἐπίκυκλον ἐπὶ τὰ αὐτὰ μέρη τῆς μέσης παρόδου μεγίστη ἀπόστασις.

Ἐστω γὰρ ὁ ἔκκεντρος κύκλος, ἐφ' οὗ φέρεται τὸ τοῦ ἐπικύκλου κέντρον ὁ ΑΒΓΔ, περὶ κέντρον τὸ Ε, καὶ διάμετρον τὴν ΑΕΓ, ἐφ' ἧς ὑποκείσθω τὸ μὲν τοῦ ζωδιακοῦ κέντρον τὸ Ζ, τὸ δὲ τοῦ τὴν ἀνωμαλίαν ποιοῦντος ἐκκέντρου, τουτέστι περὶ ὃ τὴν μέσην φαμὲν τοῦ ἐπικύκλου πάροδον ὁμαλῶς ἀποτελεῖσθαι τὸ Η, καὶ διήχθωσαν αἱ

ΒΗΘ καὶ ΔΗΚ, ἴσον ἑκατέρα ἀπέχουσαι τοῦ ἀπογείου, ὥστε ἴσας εἶναι τὰς ὑπὸ ΑΗΒ καὶ ΑΗΔ γωνίας, γεγράφθωσάν τε περὶ τὰ Β καὶ Δ σημεῖα ἴσοι ἐπίκυκλοι, καὶ ἐπεζεύχθωσαν μὲν αἱ ΒΖ καὶ ΔΖ, ἤχθωσαν δὲ ἀπὸ τοῦ Ζ τῆς ὄψεως ἐπὶ τὰ αὐτὰ μέρη ἐφαπτόμεναι τῶν ἐπικύκλων αἱ ΖΛ καὶ ΖΜ, λέγω ὅτι ἡ μὲν ὑπὸ ΖΒΗ γωνία τοῦ παρὰ τὴν ζωδιακὴν ἀνωμαλίαν διαφόρου, ἴση ἐστὶ τῇ ὑπὸ ΗΔΖ, ἡ δὲ ὑπὸ ΒΖΛ τῆς παρὰ τὸν ἐπίκυκλον μεγίστης ἀποσάσεως, τῇ ὑπὸ ΔΖΜ ὁμοίως. Οὕτω γὰρ καὶ τῶν ἐκ τῆς μίξεως μεγίστων τῆς μέσης ἀποσάσεων αἱ πηλικότητες ἴσαι ἔσονται. Ηχθωσαν δὴ κάθετοι ἀπὸ μὲν τῶν Β καὶ Δ ἐπὶ τὰς ΖΛ καὶ ΖΜ, αἱ ΒΛ καὶ ΔΜ, ἀπὸ δὲ τοῦ Ε ἐπὶ τὰς ΒΘ καὶ ΔΚ, αἱ ΕΝ καὶ ΕΞ. Επεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΞΗΕ γωνία τῇ ὑπὸ ΝΗΕ, ὀρθαὶ δὲ καὶ αἱ πρὸς τοῖς Ν, Ξ, καὶ κοινὴ τῶν ἰσογωνίων τριγώνων ἡ ΕΗ, ἴση ἐστὶν ἡ μὲν ΝΗ τῇ ΞΗ, ἡ δὲ ΕΝ κάθετος τῇ ΕΞ. Αἱ ΒΘ καὶ ΔΚ ἄρα εὐθεῖαι ἴσον ἀπέχουσιν ἀπὸ τοῦ Ε κέντρου· ἴσαι ἄρα εἰσὶν αὗταί τε καὶ αἱ ἡμίσειαι. Ωστε καὶ λοιπαὶ αἱ ΒΗ καὶ ΔΗ ἴσαι εἰσίν. Αλλὰ καὶ ἡ μὲν ΗΖ κοινὴ, γωνίαι δὲ αἱ ὑπὸ τὰς ἴσας πλευρὰς, ἡ ὑπὸ ΒΗΖ τῇ ὑπὸ ΔΗΖ ἴση· καὶ βάσις μὲν ἄρα ἡ ΒΖ βάσει τῇ ΔΖ ἴση ἐστὶ, γωνία δὲ ἡ ὑπὸ ΗΒΖ γωνίᾳ τῇ ὑπὸ ΗΔΖ ἴση. Εστι δὲ καὶ ἡ ΒΛ ἐκ τοῦ κέντρου τοῦ ἐπικύκλου τῇ ΔΜ ἴση, καὶ ὀρθαὶ αἱ πρὸς τοῖς Λ καὶ Μ γωνίαι. Καὶ ἡ ὑπὸ ΒΖΛ ἄρα γωνία τῇ ὑπὸ ΔΖΜ ἴση ἐστὶν, ἅπερ προέκειτο δεῖξαι.

de l'épicycle ; menons les lignes BHT, DHK, également éloignées chacune, de l'apogée A, de sorte que les angles AHB, AHD, soient égaux. Décrivons autour des points B et D les épicycles égaux, et joignons BZ et DZ, et tirons du lieu Z du spectateur sur les mêmes portions, les tangentes ZL, ZM, aux épicycles, je dis que l'angle ZBH de la différence par rapport à l'anomalie zodiacale, est égal à l'angle HDZ ; et l'angle BZL de la plus grande distance dans l'épicycle, à l'angle DZM pareillement. Car ainsi les inégalités provenant du mélange des excentrique et épicycle, seront égales. Abaissons les perpendiculaires BL, DM, des points B et D, sur ZL, ZM, et du point E les perpendiculaires EN, EX, sur BT, DK. Puisque l'angle XHE est égal à l'angle NHE, et que les angles N et X sont droits, et que le côté EH est commun à ces deux triangles équiangles, NH est égal à XH, et la perpendiculaire EN égale à EX. Donc, les droites BT, DK sont également distantes du centre E ; donc, elles sont égales entr'elles, ainsi que leurs moitiés. Par conséquent leurs portions BH, DH, sont égales. Mais le côté HZ est aussi commun, l'angle BHZ et son égal DHZ sont compris entre deux côtés égaux chacun à chacun ; donc la base BZ est égale à la base DZ, et l'angle HBZ égal à l'angle HDZ Or, BL menée du centre de l'épicycle est égale à la droite DM, les angles en L et M sont droits. Donc, l'angle BZL est égal à l'angle DZM ; c'est ce que je voulois démontrer.

Soit encore, pour l'hypothèse de Mercure, le diamètre ABG qui passe par les centres et par l'apogée des cercles, et supposons que A est le centre du zodiaque, B le centre de l'excentrique qui fait l'anomalie, G le

Εστω δὴ πάλιν, καὶ τῆς τοῦ Ερμοῦ ὑποθέσεως ἕνεκεν, ἡ διὰ τῶν κέντρων καὶ τοῦ ἀπογείου τῶν κύκλων διάμετρος ἡ ΑΒΓ, καὶ τὸ μὲν Α ὑποκείσθω τὸ κέντρον τοῦ ζωδιακοῦ, τὸ δὲ Β τὸ κέντρον τοῦ τὴν ἀνω-



point autour duquel se meut le centre de l'excentrique qui porte l'épicycle. Menons encore de part et d'autre les lignes BD et BE du mouvement uniforme de l'épicycle vers les points suivans, dans l'ordre des signes, et les droites GZ, GH, de la révolution d'égale vîtesse de l'excentrique contre l'ordre des signes. Il est clair que les angles G et B sont égaux, et que BD est parallèle à GZ, et BE à GH. Prenons sur GZ et GH les centres des excentriques en T et en K, et faisons passer par les points D et E les excentriques décrits autour de ces centres, sur lesquels excentriques sont les épicycles décrits autour de ces mêmes points D et E. Ces épicycles égaux étant décrits autour de ces points, joignons AD et AE, et menons aux mêmes

μαλίαν ποιοῦντος ἐκκέντρου, τὸ δὲ Γ σημεῖον περὶ ὃ τὸ κέντρον τοῦ ἐκκέντρου κινεῖται, τοῦ φέροντος τὸν ἐπίκυκλον. Καὶ διήχθωσαν ἐφ' ἑκάτερα τὰ μέρη πάλιν, αἵ τε ΒΔ καὶ ΒΕ τῆς ὁμαλῆς καὶ εἰς τὰ ἑπόμενα τοῦ ἐπικύκλου κινήσεως, καὶ αἱ ΓΖ, καὶ ΓΗ, τῆς ἰσοταχοῦς καὶ εἰς τὰ ἡγούμενα τοῦ ἐκκέντρου περιαγωγῆς· ὥστε δηλονότι τάς τε πρὸς τοῖς Γ καὶ Β γωνίας ἴσας εἶναι καὶ παραλλήλους, τὴν μὲν ΒΔ τῇ ΓΖ, τὴν δὲ ΒΕ τῇ ΓΗ. Εἰλήφθω τε ἐπὶ τῶν ΓΖ καὶ ΓΗ τὰ κέντρα τῶν ἐκκέντρων, καὶ ἔστω τό τε Θ καὶ τὸ Κ, καὶ ἐρχέσθωσαν οἱ περὶ αὐτὰ γραφόμενοι ἔκκεντροι, ἐφ' ὧν εἰσιν οἱ ἐπίκυκλοι διὰ τῶν Δ καὶ Ε σημείων· γραφέντων τε πάλιν περὶ τὰ Δ καὶ Ε σημεῖα ἴσων ἐπικύκλων, ἐπεζεύχθωσαν μὲν αἱ ΑΔ καὶ ΑΕ,

ἤχθωσαν δὲ ἐπὶ τὰ αὐτὰ τῶν ἐπικύκλων ἐφαπτόμεναι αἱ ΑΛ καὶ ΑΜ. Δεικτέον δὴ ὅτι καὶ οὕτως ἡ μὲν ὑπὸ ΑΔΒ γωνία τοῦ παρὰ τὴν ζωδιακὴν ἀνωμαλίαν διαφόρου τῇ ὑπὸ ΑΕΒ ἴση ἐστὶν, ἡ δὲ ὑπὸ ΔΑΛ τῆς παρὰ τὸν ἐπίκυκλον μεγίστης ἀποστάσεως τῇ ὑπὸ ΕΑΜ. Επεζεύχθωσαν γὰρ αἱ ΒΘ καὶ ΒΚ, καὶ ΘΔ καὶ ΚΕ, καὶ κάθετοι ἤχθωσαν ἀπὸ μὲν τοῦ Γ ἐπὶ τὰς ΒΔ καὶ ΒΕ, αἱ ΓΝ καὶ ΓΞ, ἀπὸ δὲ τῶν Δ καὶ Ε, ἐπὶ μὲν τὰς ΓΖ καὶ ΓΗ, αἱ ΔΖ καὶ ΕΗ, ἐπὶ δὲ τὰς ΑΛ καὶ ΑΜ, αἱ ΔΛ, καὶ ΕΜ. Επεὶ τοίνυν ἴση ἐστὶν ἡ ὑπὸ ΓΒΝ γωνία τῇ ὑπὸ ΓΒΞ, καὶ ὀρθαὶ μὲν αἱ πρὸς τοῖς Ν καὶ Ξ γωνίαι, κοινὴ δὲ ἡ ΓΒ εὐθεῖα ἴση ἐστὶ, καὶ ἡ ΓΝ εὐθεῖα τῇ ΓΞ, τουτέστιν ἡ ΔΖ τῇ ΕΗ. Εστι δὲ καὶ ἡ μὲν ΘΔ, τῇ ΚΕ ἴση, ὀρθαὶ δὲ αἱ πρὸς τοῖς Ζ καὶ Η γωνίαι, ὥστε καὶ ἡ τε ὑπὸ ΔΘΖ γωνία, τῇ ὑπὸ ΕΚΗ ἴση ἐστὶ, καὶ ἡ ὑπὸ ΓΘΒ τῇ ὑπὸ ΓΚΒ, διὰ τὸ καὶ τὴν μὲν ΘΓ εὐθεῖαν τῇ ΓΚ ἴσην ὑποκεῖσθαι, κοινὴν δὲ τὴν ΓΒ, γωνίαν δὲ τὴν ὑπὸ ΘΓΒ γωνίᾳ τῇ ὑπὸ ΚΓΒ ἴσην. Ωστε καὶ λοιπὴ μὲν ἡ ὑπὸ ΒΘΔ γωνία τῇ ὑπὸ ΒΚΕ ἴση ἐστὶ, βάσις δὲ ἡ ΒΔ βάσει τῇ ΒΕ· ἀλλὰ καὶ ἡ μὲν ΒΑ πάλιν κοινὴ, γωνία δὴ ἡ ὑπὸ ΔΒΑ γωνίᾳ τῇ ὑπὸ ΕΒΑ ἴση· Ωστε καὶ βάσις μὲν ἡ ΑΔ βάσει τῇ ΑΕ ἴση ἐστὶ, γωνία δ' ἡ ὑπὸ ΑΔΒ γωνίᾳ τῇ ὑπὸ ΑΕΒ. Διὰ τὰ αὐτὰ δὲ, ἐπεὶ καὶ ἡ μὲν ΔΛ τῇ ΕΜ ἐστὶν ἴση, ὀρθαὶ δὲ αἱ πρὸς τοῖς Λ καὶ Μ γωνίαι, καὶ ἡ ὑπὸ ΔΑΛ γωνία τῇ ὑπὸ ΕΑΜ ἴση ἐστὶν, ἅπερ προέκειτο δεῖξαι.

portions des épicycles, les tangentes AL, AM. Il faut démontrer que l'angle ADB de la différence causée par l'anomalie zodiacale, est égal à l'angle AEB, et l'angle DAL de la plus grande distance dans l'épicycle, à l'angle EAM. Joignons BT et BK, TD et KE, abaissons du point G les perpendiculaires GN, GX, sur BD et BE, et des points D et E sur GZ et GH les perpendiculaires DZ, EH, et sur AL et AM les perpendiculaires DL, EM. Puisque l'angle GBN est égal à l'angle GBX, et que les angles N et X sont droits, la droite GB étant commune, la droite GN est égale à la droite GX, aussi bien que DZ à EH. Or TD est égale à KE, et les angles en Z et en H sont droits, ensorte que l'angle DTZ est égal à l'angle EKH, et l'angle GTB à l'angle GKB, parceque la droite GT est supposée égale à GK, la droite GB commune, et l'angle TGB égal à l'angle KGB. Par conséquent les angles restants BTD et BKE sont égaux, et les bases BD, BE, sont égales. Mais la droite BA est encore un côté commun, et l'angle DBA est égal à l'angle EBA. Donc la base AD est égale à la base AE, et les angles ADB, AEB, sont égaux. Pour les mêmes raisons, DL égalant EM, et les angles L et M étant droits, il s'ensuit que les angles DAL, EAM, sont égaux; ce qu'il falloit démontrer.

CHAPITRE VII.

DÉMONSTRATION DE L'APOGÉE DE MERCURE ET DE SA TRANSLATION.

Cette théorie une fois établie, nous commencerons par chercher en quelles parties du cercle mitoyen du zodiaque, est l'apogée de Mercure, et voici comment nous procédons : nous avons rassemblé les observations des plus grandes digressions dans lesquelles les distances angulaires au lieu moyen du soleil, c'est-à-dire celles de l'astre, étoient les mêmes à l'orient et à l'occident; car cela étant trouvé, il faut d'après ce que nous avons démontré, que le point de l'écliptique qui est juste entre ces deux élongations, soit l'apogée de l'excentrique. Nous avons donc pris quelques observations, à la vérité en petit nombre, attendu que celles où cette égalité se trouve juste, sont rares, mais nous en avons choisi qui font sentir la chose. Voici quelles sont les plus nouvelles.

Nous avons observé dans la 16e année d'Adrien, le soir du 16 au 17 du mois égyptien Phamenoth, par le moyen de l'astrolabe, Mercure dans sa plus grande digression du lieu moyen du soleil. Comparé à l'étoile brillante des hyades, il paroissoit être en longitude sur le premier degré des poissons. Mais dans ce même temps, le lieu moyen du soleil étoit sur $9^{d}\ \frac{1}{2}\ \frac{1}{4}$ du verseau. Donc au soir la plus grande digression loin du lieu moyen, étoit de $21^{d}\ \frac{1}{4}$.

ΚΕΦΑΛΑΙΟΝ Ζ.

ΑΠΟΔΕΙΞΙΣ ΤΟΥ ΑΠΟΓΕΙΟΥ ΤΟΥ ΤΟΥ ΕΡΜΟΥ ΑΣΤΕΡΟΣ ΚΑΙ ΤΗΣ ΜΕΤΑΠΤΩΣΕΩΣ ΑΥΤΟΥ.

Τούτων θεωρηθέντων, ἐλάβομεν πρῶτον κατὰ ποίων μερῶν ἐστι τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου τὸ ἀπόγειον τοῦ τοῦ Ερμοῦ ἀστέρος, τὸν τρόπον τοῦτον. Εζητήσαμεν γὰρ μεγίστων ἀποστάσεων τηρήσεις, ἐφ' ὧν αἱ ἑῶοι πάροδοι ταῖς ἑσπερίαις ἴσον ἀπὸ τῆς ἡλιακῆς μέσης παρόδου, τουτέστι τῆς τοῦ ἀστέρος, διεσήκασι. Τοῦ τοιούτου γὰρ εὑρεθέντος, ἐξ ὧν ἐδείξαμεν, ἀνάγκη τὸ μεταξὺ τῶν δύω παρόδων σημεῖον τοῦ διὰ μέσων, τὸ ἀπόγειον τοῦ ἐκκέντρου περιέχειν. Ελάβομεν οὖν εἰς τοῦτο τηρήσεις ὀλίγας μὲν, διὰ τὸ σπανίως τὴν τοιαύτην συζυγίαν ἀκριβῶς ἐπιτυγχάνεσθαι, δυναμένας δ' οὖν ὑπ' ὄψιν ἀγαγεῖν τὸ προκείμενον, ὧν νεώτεραι μέν εἰσιν αἵδε.

Ετηρήσαμεν γὰρ ἡμεῖς τῷ ιϛ̄ ἔτει Αδριανοῦ, κατ' Αἰγυπτίους Φαμενὼθ ιϛ̄ εἰς τὴν ιζ̄ ἑσπέρας τὸν τοῦ Ερμοῦ ἀστέρα, διὰ τῆς τοῦ ἀστρολάβου κατασκευῆς, τὸ πλεῖσον ἀποστάντα τῆς μέσης τοῦ ἡλίου παρόδου. Τότε δὲ καὶ διοπτευόμενος πρὸς τὴν λαμπρὰν ὑάδα, ἐπέχων ἐφαίνετο κατὰ μῆκος ἰχθύων μοῖραν ᾱ. Αλλὰ κατὰ τὸν ἐκκείμενον χρόνον ἡ μέση τοῦ ἡλίου πάροδος ἐπεῖχεν ὑδροχόου μοίρας θ̄ ς′ δ″. ἡ μεγίστη ἄρα τῆς μέσης ἀπόστασις ἑσπερία γέγονεν κᾱ καὶ δ″ μοιρῶν.

Καὶ τῷ ιπ̄ δὲ ἔτει Ἀδριανοῦ, κατ' Αἰγυπτίους Ἐπιφὶ ιπ̄ εἰς τὴν ιθ̄ ὄρθρου, ἐπὶ τῆς μεγίστης ὧν ἀποστάσεως ὁ τοῦ Ἑρμοῦ καὶ σφόδρα λεπτὸς καὶ ἀμαυρὸς φαινόμενος, διοπτευόμενός τε πρὸς τὴν λαμπρὰν ὑάδα, ἐπέχων ἐφαίνετο ταύρου μοίρας ιπ̄ ς″ δ″. Ἀλλὰ καὶ κατὰ τοῦτον τὸν χρόνον ἐπεῖχεν ὁ μέσος ἥλιος, διδύμων μοίρας ῑ· καὶ ἐνθάδε ἄρα ἡ μεγίστη τῆς μέσης ἀπόστασις ἑῴα γέγονε τῶν ἴσων κᾱ̄ καὶ δ″ μοιρῶν.

Ὡς δ' ἐπειδὴ κατὰ μὲν τὴν ἑτέραν τῶν τηρήσεων ἡ μέση τοῦ ἀστέρος πάροδος ἐπεῖχεν ὑδροχόου μοίρας θ̄ ς″ δ″, κατὰ δὲ τὴν ἑτέραν διδύμων ῑ μοίρας, τὸ δὲ μεταξὺ τούτων σημεῖον τοῦ διὰ μέσων περιέχει τὰς τοῦ κριοῦ μοίρας ῑ λειπούσας η″ μέρει μιᾶς μοίρας, κατὰ ταύτης ἂν εἴη τότε τῆς θέσεως ἡ διὰ τοῦ ἀπογείου διάμετρος.

Πάλιν ἡμεῖς ἐτηρήσαμεν διὰ τοῦ ἀστρολάβου, τῷ ᾱ̄ Ἀντωνίνου ἔτει, κατ' Αἰγυπτίους κ̄ τοῦ Ἐπιφὶ εἰς τὴν κᾱ̄ ἑσπέρας, τὸν τοῦ Ἑρμοῦ ἀστέρα τὸ πλεῖσον ἀποστάντα τῆς τοῦ ἡλίου μέσης παρόδου. Διοπτευόμενος δὲ τότε παρὰ τὸν ἐπὶ τῆς καρδίας τοῦ λέοντος, ἐπέχων ἐφαίνετο καρκίνου μοίρας ζ̄. Ἀλλὰ καὶ κατὰ τὸν ἐκκείμενον χρόνον ὁ μέσος ἥλιος ἐπεῖχε διδύμων μοιρὰς ῑ ς″. Γέγονεν ἄρα ἡ μεγίστη τῆς μέσης ἀπόστασις ἑσπερία, μοιρῶν κϛ̄ ς″.

Ὡσαύτως δὲ καὶ τῷ τετάρτῳ ἔτει Ἀντωνίνου, κατ' Αἰγυπτίους Φαμενὼθ ιπ̄ εἰς τὴν ιθ̄ ὄρθρου πάλιν, ἐπὶ τῆς μεγίστης ὧν ἀποστάσεως, καὶ διοπτευόμενος πρὸς τὸν καλούμενον ἀντάρην, ἐπέχων ἐφαίνετο τοῦ αἰγοκέρωτος μοίρας ιγ̄ ς″, τοῦ μέσου ἡλίου ἐπέχοντος ὑδροχόου μοίρας ῑ. Καὶ

Dans la 18e année d'Adrien, le matin du 18 du mois égyptien Epiphi au 19, Mercure étant dans sa plus grande digression et paroissant petit et terne, comparé à l'hyade brillante, se voyoit sur les 18d $\frac{1}{2}\frac{1}{4}$ du taureau. Mais dans le même temps, le soleil par son mouvement moyen, étoit sur les 10d des gémeaux. Donc, ici, la plus grande digression orientale, étoit des mêmes 21d $\frac{1}{4}$ loin du lieu moyen.

Ainsi, puisque dans l'une de ces observations le lieu moyen étoit sur 9d $\frac{1}{2}\frac{1}{4}$ du verseau, et dans l'autre, sur 10d des gémeaux, et que le point de l'écliptique, juste entre ceux de ces deux observations, tombe à 10d moins $\frac{1}{8}$ du bélier (α); il s'ensuit que telle seroit alors la position du diamètre de l'apogée ($\grave{a}$ $9^d\ 52'\ 30''\ \gamma$).

Nous avons encore observé par le moyen de l'astrolabe, dans la première année d'Antonin, au soir du 20 au 21 Epiphi des Égyptiens, Mercure dans sa plus grande digression du lieu moyen du soleil. Comparé au cœur du lion, il paroissoit être sur le 7e degré du cancer. Mais dans ce même temps le soleil moyen occupoit les 10d $\frac{1}{2}$ des gémeaux. Donc la plus grande digression occidentale étoit à 26d $\frac{1}{2}$ du lieu moyen.

De même, dans la 4e année d'Antonin, le matin du 18 au 19 du mois égyptien Phamenoth, Mercure, dans sa plus grande digression, et comparé à l'étoile appelée Antarès, paroissoit sur 13d $\frac{1}{2}$ du capricorne, lorsque le soleil moyen étoit sur les 10d du verseau. Donc alors la

plus grande distance orientale au lieu moyen étoit des mêmes 26d ½.

Ainsi, puisque suivant l'une de ces observations, le lieu moyen de l'astre étoit sur 10 degrés ½ des gémeaux, et suivant l'autre sur les 10d du verseau ; et que le point de l'écliptique, milieu entre ces deux extrêmes, est 10d ¼ de la balance (*b*) : le diamètre de l'apogée étoit donc alors dans cette position. Nous trouvons ainsi, par ces observations, que l'apogée tombe vers le 10e degré du bélier ou des serres (*c*); mais, selon les anciennes observations des plus grandes digressions, il tomboit vers les sixièmes degrés de ces mêmes signes, comme on le conclura de ce qu'on va lire.

Dans la 23e année, selon Denys, le 29 du mois Hydron, au matin, Mercure (*le brillant*) (*d*), étoit éloigné de la claire qui est à la queue du capricorne, de trois lunes vers l'ourse. Or, cette étoile, en comptant depuis les points par où nous commençons, c'est-à-dire depuis les points solsticiaux et équinoxiaux, étoit, comme Mercure, sur 22d ⅓ du capricorne, et le soleil moyen occupoit le 18d ⅙ du verseau. Car le temps de cette observation étoit le matin du 17 au 18 du mois égyptien Choïac de l'an (*e*) 486 de Nabonassar. La digression du matin étoit donc à 25d ½ ⅓ du lieu moyen.

Il est vrai que les observations venues jusqu'à nous, ne nous donnent pas exactement la même quantité pour la digression du soir. Cependant, d'après deux digressions à peu près égales, nous avons pu déterminer celle qui auroit été égale ou véritablement la même, et voici de quelle manière nous avons calculé :

ἐνθάδε ἄρα ἡ μεγίστη τῆς μέσης ἀπόσασις ἑῴα τῶν ἴσων γέγονεν κϛ̄ ς′ μοιρῶν.

Ὡς δ' ἐπὶ κατὰ μὲν τὴν ἑτέραν τῶν τηρήσεων, ἐπεῖχεν ἡ μέση πάροδος τοῦ ἀστέρος διδύμων μοίρας ῑ̄ ς′, κατὰ δὲ τὴν ἑτέραν ὑδροχόου μοίρας ῑ̄, τὸ δὲ μεταξὺ αὐτῶν σημεῖον τοῦ διὰ μέσων περιέχει ζυγοῦ μοίρας ῑ̄ δ′, κατὰ ταύτης ἂν εἴη τότε τῆς θέσεως ἡ διὰ τοῦ ἀπογείου διάμετρος. Ἐκ μὲν οὖν τούτων τῶν τηρήσεων περὶ τὰς ῑ̄ μοίρας ἔγγιστα τοῦ κριοῦ ἢ τῶν χηλῶν τὸ ἀπόγειον ἐκπίπτον εὑρίσκομεν· διὰ δὲ τῶν παλαιῶν τῶν περὶ τὰς μεγίστας ἀποσάσεις τετηρημένων, περὶ τὰς ϛ̄ μοίρας τῶν αὐτῶν δωδεκατημορίων, ὡς ἐκ τῶν τοιούτων ἄν τις ἐπιλογίσαιτο.

Ἔτους γὰρ κγ̄, κατὰ Διονύσιον, Ὑδρωνος κθ̄, ἑῷος ὁ σίλβων τοῦ λαμπροτάτου οὐραίου ἐν αἰγόκερῳ διεῖχεν εἰς τὰς πρὸς ἄρκτους, σελήνας τρεῖς. Ἐπεῖχε δὲ τότε ὁ εἰρημένος ἀπλανὴς κατὰ τὰς ἡμετέρας ἀρχὰς, τουτέστι τὰς ἀπὸ τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων, αἰγόκερω μοίρας κβ̄ γ′. ὅσας δηλονότι καὶ ὁ τοῦ Ἑρμοῦ ἀστὴρ, καὶ ὁ μέσος δηλονότι ἥλιος ἐπεῖχεν ὑδροχόου μοίρας ιη̄ ς′. Ἦν γὰρ ὁ χρόνος κατὰ τὸ υπϛ̄ ἔτος ἀπὸ Ναβονασάρου, κατ' Αἰγυπτίους Χοϊὰκ ιζ̄ εἰς τὴν ιη̄ ὄρθρου. Γέγονεν ἄρα ἡ μεγίστη τῆς μέσης ἀπόσασις ἑῴα, μοιρῶν κε̄ ς′ γ′.

Ἴσην μὲν οὖν ἀκριβῶς ταύτην μεγίστην ἑσπερίαν ἀπόσασιν οὐχ εὕρομεν ἔνγε ταῖς εἰς ἡμᾶς ἐλθούσαις τηρήσεσι, διὰ δὲ δύο τῶν ἔγγιστα τὴν ἴσην ἐπελογισάμεθα τὸν τρόπον τοῦτον.

Τῷ μὲν γὰρ αὐτῷ κγ̄ ἔτει, κατὰ Διό-
νύσιον, Ταύρωος δ̄ ἑσπέρας, τῆς διὰ τῶν
τοῦ ταύρου κεράτων εὐθείας ὑπελείπετο
τρεῖς σελήνας· ἐδόκει δὲ παραπορευόμενος
τοῦ κοινοῦ ἀφίξειν πρὸς μεσημβρίαν πλεῖον
τριῶν σεληνῶν, ὥστε ἐπέχειν πάλιν κατὰ
τὰς ἡμετέρας ἀρχὰς, ταύρου μοίρας κγ̄
γ′. Καὶ ἦν ὁ χρόνος κατὰ τὸ υπ̄ ἔτος
πάλιν ἀπὸ Ναβονασσάρου, κατ' Αἰγυ-
πτίους Φαμενὼθ τριακοστῇ εἰς τὴν ᾱ ἑσπέ-
ρας, ὅτε ὁ μέσος ἥλιος ἐπεῖχε κριοῦ μοίρας
κθ̄ ς′. Γέγονεν ἄρα ἡ μεγίστη τῆς μέσης
ἀπόστασις ἑσπερία μοιρῶν κδ̄ ς′.

Τῷ δὲ κη̄ ἔτει, κατὰ Διονύσιον, Διδύ-
μωνος ζ̄ ἑσπέρας, κατ' εὐθεῖαν ἣν μάλιστα
ταῖς κεφαλαῖς τῶν διδύμων, πρὸς μεσημ-
βρίαν δὲ τῆς νοτίου διεῖχε τριτημορίῳ σε-
λήνης ἔλασσον ἢ διπλάσιον οὗ αἱ κε-
φαλαὶ διεσήκασιν, ὥστε ἐπέχειν πάλιν
τότε τὸν τοῦ Ερμοῦ ἀστέρα, κατὰ τὰς ἡμε-
τέρας ἀρχὰς, διδύμων κθ̄ γ′. Εστὶ δὲ καὶ
οὗτος ὁ χρόνος κατὰ τὸ υζ̄ ἔτος ἀπὸ
Ναβονασσάρου, κατ' Αἰγυπτίους Φαρμουθὶ
ε̄ εἰς τὴν ς̄ ἑσπέρας, κατ' ὃν ὁ μέσος
ἥλιος ἐπεῖχε διδύμων μοίρας β̄ ς′ γ′.
Γέγονεν ἄρα καὶ αὐτὴ ἡ διάστασις μοιρῶν
κς̄ ς′. Επεὶ οὖν τῆς μέσης ἴσης ἐν μὲν τῷ
κριῷ μοιρῶν κθ̄ ς′, ἡ μεγίστη διάστασις
γέγονε μοιρῶν κδ̄ ς′, ἐν δὲ τοῖς διδύ-
μοις μοιρῶν β̄ ς′ γ′, ἡ διάστασις γέγονε
μοιρῶν κς̄ ς′· ἦν δὲ ἡ ἑώα πρὸς ἣν ἐζη-
τοῦμεν τὴν συζυγοῦσαν μοιρῶν κε̄ ς′ γ′,
ἐλάβομέν που τῆς μέσης οὔσης, καὶ ἡ
ἑσπερία διάστασις τῶν κε̄ ς′ γ′ μοιρῶν ἔσαι,
ἐκ τῆς ὑπεροχῆς τῶν ὑποτεταγμένων δύο
τηρήσεων. Συνάγεται γὰρ τῶν μὲν μέσων

Au soir du 4 Tauron de cette 23e année, selon Denys, Mercure étoit plus avancé de trois lunes en longitude, que la ligne droite qui joint les cornes du taureau. Il paroissoit avoir outre-passé de plus de trois lunes, vers le midi, l'étoile commune (*f*), de sorte qu'il étoit, à compter de nos points de départ, en 23d $\frac{1}{3}$ du taureau. Or, cette observation s'est faite l'an 486e de l'ère de Nabonassar, le soir du 30 du mois égyptien Phamenoth (*g*) au 1er du mois suivant, lorsque le lieu moyen du soleil étoit sur les 29d $\frac{1}{2}$ du bélier. Donc la plus grande digression occidentale différoit du lieu moyen, de 24d $\frac{1}{6}$ (*h*).

Dans la 28e année, suivant Denys, le 7 du mois Didymon, au soir, Mercure étoit en ligne droite avec les têtes des gémeaux, et à une distance au midi de l'australe, moindre du tiers d'une lune (*i*) que le double de l'intervalle de ces têtes, de sorte que cet astre étoit alors, en commençant toujours à compter des mêmes points, sur 29d $\frac{1}{3}$ des gémeaux. Or, l'époque de cette observation est le soir du 5 au 6 Pharmouthi de l'année 491 de Nabonassar, lorsque le soleil moyen étoit sur 2d $\frac{1}{2}$ $\frac{1}{3}$ des gémeaux. La digression étoit donc de 26d $\frac{1}{2}$. Or, puisque quand le lieu moyen du soleil étoit sur 29d $\frac{1}{2}$ du bélier, la plus grande étoit de 24d $\frac{1}{6}$ (*j*); et que le lieu moyen étant sur 2d $\frac{1}{2}$ $\frac{1}{3}$ des gémeaux, elle étoit de 26d $\frac{1}{2}$; mais que la digression orientale dont nous cherchions l'opposée, étoit de 25d $\frac{1}{2}$ $\frac{1}{3}$: nous avons cherché où devoit être la moyenne, pour que la digression occidentale fût de 25d $\frac{1}{2}$ $\frac{1}{3}$; et cela, par la différence des deux observations que nous rapportons ci-après. Car la différence des

lieux moyens dans l'une et l'autre, est de $33^d \frac{1}{3}$, et celle des plus grandes distances est de $2^d \frac{1}{3}$; ainsi, environ 24^d répondent proportionnellement à $1^d \frac{2}{3}$, dont $25^d \frac{1}{2} \frac{1}{3}$ surpassent les $24^d \frac{1}{6}$. Si nous ajoutons ces 24^d aux $29^d \frac{1}{2}$ du bélier, nous aurons le lieu moyen relativement auquel la plus grande digression du soir sera comme celle du matin, de $25^d \frac{1}{2} \frac{1}{3}$, en $23^d \frac{1}{2}$ du taureau (*k*). Et le point milieu entre les $18^d \frac{1}{6}$ du verseau et les $23^d \frac{1}{2}$ du taureau, tombe sur $5^d \frac{1}{2} \frac{1}{3}$ du bélier.

παρόδων καθ' ἑκατέραν ἡ ὑπεροχὴ μοιρῶν λγ̄ γ″, τῶν δὲ μεγίστων διαστάσεων, μοιρῶν β γ″, ὡς καὶ τῇ ᾱ γ′ μοίρᾳ ᾗ ὑπερέχουσιν αἱ κε̄ ς″ γ″ τῶν κδ̄ ς″, ἐπιβάλλειν μοίρας κδ̄ ἐγγίσα, ἃς ἐὰν προσθῶμεν ταῖς τοῦ κριοῦ μοίραις κθ̄ ς″, ἕξομεν τὴν μέσην πάροδον, καθ' ἣν ἡ μεγίστη ἑσπερία ἀπόστασις τῶν ἴσων συναχθήσεται τῇ ἑῴᾳ μοιρῶν κε̄ ς″ γ″, περιέχουσαν ταύρου μοίρας κγ̄ ς″· καὶ ἔστι τὸ μεταξὺ σημεῖον τῶν τε τοῦ ὑδροχοοῦ μοιρῶν ιη̄ ς″ καὶ τῶν τοῦ ταύρου κγ̄ ς″, περὶ τὰς ε̄ ς″ γ″ μοίρας τοῦ κριοῦ.

Dans la 24e année, selon Denys, le 28 du mois Léonton, au soir, Mercure précédoit l'épi d'un peu plus de trois degrés, suivant le calcul d'Hipparque, ensorte qu'il étoit alors sur les $19^d \frac{1}{2}$ de la vierge, comptés de nos points de départ. Or, c'étoit l'an 486 de Nabonassar, le soir du 30 du mois égyptien de Payni, jour où le soleil moyen étoit dans les $27^d \frac{1}{2} \frac{1}{3}$ du lion. Donc au soir, la plus grande digression étoit à $21^d \frac{2}{3}$ du lieu moyen. A cette digression occidentale a dû correspondre une digression orientale opposée, que nous avons aussi calculée d'après les deux observations suivantes :

Πάλιν ἔτους κδ̄, κατὰ Διονύσιον, Λέοντωνος κη̄ ἑσπέρας, προηγεῖτο τοῦ σάχυος, ἐξ ὧν ὁ Ἱππαρχος ἐπιλογίζεται, μικρῷ πλεῖον γ̄ μοιρῶν, ὥστε ἐπέχειν τότε κατὰ τὰς ἡμετέρας ἀρχὰς, παρθένου μοίρας ιθ̄ ς′. Ἔστι δὲ ὁ χρόνος κατὰ υπς̄ ἔτος ἀπὸ Ναβονασσάρου, κατ' Αἰγυπτίους Παῦνὶ λ̄ ἑσπέρας, καθ' ὃν ὁ μέσος ἥλιος ἐπεῖχε λέοντος μοίρας κζ̄ ς″ γ″. Γέγονεν ἄρα ἡ μεγίστη τῆς μέσης ἀπόστασις ἑσπερία μοιρῶν κᾱ γ′, ἣ τὴν ἀκριβῶς συζυγοῦσαν ἑῴαν ἐπελογισάμεθα πάλιν διὰ δύο τῶν ὑποκειμένων.

L'an 75, au matin du 14 du mois chaldéen Dius, Mercure étoit d'une demi-coudée au-dessus de la balance australe, ensorte que relativement à nos points de départ, il étoit sur les $14^d \frac{1}{6}$ des serres. Or, cette époque coïncide avec l'aurore du 9 au 10 du mois égyptien Thoth, de l'année 512 de l'ère de Nabonassar, lorsque le soleil étoit par son mouvement moyen, sur $5^d \frac{1}{6}$ du scorpion. La plus grande digression orientale étoit donc de 21^d.

Ετους μὲν γὰρ οε̄, κατὰ Χαλδαίους Δίου ιδ̄, ἕως ἐπάνω ἦν τοῦ νοτίου ζυγοῦ πήχεος ς″, ὥστε ἐπέχειν τότε, κατὰ τὰς ἡμετέρας ἀρχὰς, χηλῶν μοίρας ιδ̄ ς″. Καὶ ἔστιν ὁ χρόνος κατὰ τὸ πενταχοσιοστὸν δωδέκατον ἔτος ἀπὸ Ναβονασσάρου, κατ' Αἰγυπτίους Θὼθ θ̄ εἰς τὴν ῑ̄ ὀρθρου, καθ' ὃν ὁ μέσος ἥλιος ἐπεῖχε σκορπίωνος μοίρας ε̄ ς″. Γέγονεν ἄρα ἡ ἑῴα μεγίστη διάστασις, μοιρῶν κᾱ.

Ετει δὲ ξζ̄ κατὰ Χαλδαίους Απελλαίου ε̄, ἑῶος ἐπάνω ἡμ τοῦ βορείου μετώπου τοῦ σκορπίωνος, πήχεος ς″, ὥστε ἐπεῖχε τότε καθ' ἡμᾶς σκορπίωνος μοίρας β̄ γ″. Εστι δὲ καὶ οὗτος ὁ χρόνος, κατὰ τὸ φξδ̄ ἔτος ἀπὸ Ναβονασάρου, κατ' Αἰγυπτίους Θὼθ κζ̄ εἰς τὴν κη̄ ὄρθρου, καθ' ὃν ὁ μέσος ἥλιος σκορπίωνος ἐπεῖχε μοίρας κδ̄ ς″ γ″. Γίγονεν ἄρα καὶ αὕτη ἡ διάστασις μοιρῶν κβ̄ ς″. Επεὶ οὖν πάλιν ἐν ταῖς δυσὶ τηρήσεσι ταύταις τῶν μέσων παρόδων αἱ ὑπεροχαὶ συνάγουσι μοίρας ιθ̄ β″, τῶν δὲ μεγίσων ἀποστάσεων μοῖραν ᾱ ς″, διὰ τοῦτο δὲ καὶ τοῖς δυσὶ μέρεσι τῆς μιᾶς μοίρας, οἷς ὑπερέχουσιν αἱ τῆς ἐπιζητουμένης διαστάσεως κᾱ γ°, τὰς τῆς ἐλάττονος κᾱ μοίρας, ἐπιβάλλουσι μοίρας θ̄ ἔγγιστα, ταύτας ἐὰν προσθῶμεν ταῖς τοῦ σκορπίου μοίραις ε̄ ς″, ἕξομεν τὴν μέσην πάροδον, καθ' ἣν ἡ μεγίστη ἑῴα διάστασις ἴση γίνεται ταῖς τῆς ἑσπερίας μοίραις κᾱ γ°, περιέχουσαν σκορπίωνος μοίρας ιδ̄ ς″. Καὶ ἔστι πάλιν τὸ μεταξὺ σημεῖον τῶν τε τοῦ λέοντος μοιρῶν κζ̄ ς″ γ″, καὶ τῶν τοῦ σκορπίου ιδ̄ ς″, περὶ τὰς ϛ̄ μάλιστα μοίρας τῶν χηλῶν.

Εκ τε δὴ τούτων καὶ ἐκ τῆς τῶν περὶ τοὺς ἄλλους ἀστέρας φαινομένων κατὰ μέρος ἐφαρμογῆς, σύμφωνον εὑρίσκομεν τότε ποιεῖσθαί τινα μετάβασιν εἰς τὰ ἑπόμενα τῶν ζωδίων περὶ τὸ τοῦ ζωδιακοῦ κέντρον, τὰς διὰ τῶν ἀπογείων καὶ περιγείων διαμέτρους ἐπὶ τῶν ε̄ πλανωμένων, καὶ τὸ τὴν μετάβασιν ταύτην ἰσοχρόνιον εἶναι τῆς τῶν ἀπλανῶν σφαίρας· ἐπειδήπερ ἐκείνης μεταβιβαζομένης, ἐξ

Dans la 67e année des Chaldéens, le 5 du mois Apellaios, Mercure oriental étoit à une demi-coudée au-dessus du front boréal du scorpion, ensorte que, selon notre manière de compter, il occupoit le 2d $\frac{1}{2}$ du scorpion. Or (*l*) cet instant répond à la 564e année de Nabonassar, au matin du 27 au 28 du mois égyptien Thoth, lorsque le soleil moyen étoit sur le 24d $\frac{1}{2}$ $\frac{1}{3}$ du scorpion. Cette même digression étoit donc de 22d $\frac{1}{2}$. Puisqu'ainsi dans ces deux observations les differences des moyens mouvemens montent à 19d $\frac{1}{3}$, et celle des plus grandes digressions à 1d $\frac{1}{2}$, et que par là les 21d $\frac{1}{3}$ de la distance cherchée, surpassant de $\frac{1}{3}$ d'un degré les 21d de la moindre distance, répondent proportionellement à 9d environ, si nous ajoutons ceux-ci aux 5d $\frac{1}{6}$ du scorpion, nous aurons le lieu moyen, relativement auquel la plus grande digression orientale devient égale aux 21d $\frac{1}{3}$ de celle du soir, tombant aux 14d $\frac{1}{6}$ du scorpion. Or, le point milieu entre les 27d $\frac{1}{2}$ $\frac{1}{3}$ du lion, et les 14d $\frac{1}{6}$ du scorpion, est au plus sur le sixième degré des serres.

D'après ces observations, et des comparaisons pareilles qui ont été faites pour les autres astres, nous avons trouvé que les diamètres qui passent par les apogées et les périgées des cinq planètes, ont une certaine progression suivant l'ordre des signes, autour du centre du zodiaque, et que cette progression se fait dans le même temps que celle de la sphère des étoiles fixes; car celle-ci, suivant ce que nous

avons démontré, est d'environ 1d en cent ans, et ici le temps écoulé depuis les anciennes observations, où l'apogée de Mercure étoit dans les 6d, jusqu'à nos observations où il s'est trouvé avancé de 4d à très-peu près, puisqu'il est à présent dans les 10d (*des serres*), embrasse l'espace de 400 ans (*m*).

CHAPITRE VIII.

MERCURE EST DEUX FOIS PÉRIGÉE DANS CHACUNE DE SES RÉVOLUTIONS.

Suivant les principes que je viens d'établir, nous avons cherché les grandeurs des plus grandes digressions qui ont lieu quand le mouvement moyen du soleil se fait dans l'apogée même, et dans la position diamétralement opposée. Ce n'est pas par des observations anciennes que nous les avons obtenues, mais par celles que nous avons faites, au moyen de l'astrolabe. C'est dans ces observations surtout, que l'emploi de cet instrument est particulièrement utile : car, des étoiles voisines des astres qu'on observe, n'étant plus visibles aux lieux où on les avoit vues auparavant, comme cela arrive ordinairement pour Mercure, attendu que plusieurs des fixes à même distance que lui, du soleil, ne peuvent que rarement être aperçues ; on prend exactement par le moyen d'autres fixes auxquelles on vise par l'instrument, les positions cherchées en longitude et en latitude (*a*).

Dans la 19e année d'Adrien, au matin du 14 au 15 du mois égyptien Athyr,

ὧν ἀπεδείξαμεν, ἐν τοῖς ρ̄ ἔτεσι μοῖραν ᾱ ἔγγιστα, καὶ ἐνταῦθα ὁ ἀπὸ τῶν παλαιῶν τηρήσεων χρόνος, καθ' ὃν τὸ τοῦ Ερμοῦ ἀπόγειον περὶ τὰς ἕκτας ἦν μοίρας, ἐπὶ τὸν τῶν καθ' ἡμᾶς τηρήσεων ἐν ᾧ δ̄ ἔγγιστα κεκίνηται μοίρας, διὰ τὸ τὰς δεκάτας ἐπέχειν, περὶ τὰ ῡ που περιέχων ἔτη καταλαμβάνεται.

ΚΕΦΑΛΑΙΟΝ Η.

Επι μὲν δὴ τῶν δύο τούτων ἀςέρων τοῦ τε τοῦ Ερμοῦ καὶ τοῦ τῆς Αφροδίτης τοιαύταις ἐφόδοις κεχρημένοι τυγχάνομεν, πρός τε τὰς ἐπιβολὰς τῶν ὑποθέσεων, καὶ τὰς ἀποδείξεις τῶν ἀνωμαλιῶν· ἐπὶ δὲ τῶν λοιπῶν τριῶν τοῦ τοῦ Αρεως καὶ τοῦ τοῦ Ζηνὸς καὶ τοῦ τοῦ Κρόνου, τὴν μὲν ὑπόθεσιν τῆς κινήσεως μίαν καὶ τὴν ὁμοίαν εὑρίσκομεν τῇ περὶ τὸν τῆς Αφροδίτης ἀςέρα κατειλημμένῃ, τουτέςι καθ' ἣν ὁ ἔκκεντρος κύκλος, ἐφ' οὗ πάντοτε φέρεται τὸ τοῦ ἐπικύκλου κέντρον, γράφεται κέντρῳ διχοτομοῦντι σημείῳ τὴν μεταξὺ τῶν κέντρων τοῦ τε ζωδιακοῦ, καὶ τοῦ τὴν ὁμαλὴν ποιοῦντος τοῦ ἐπικύκλου περιαγωγήν· ἐπειδήπερ καὶ ἐφ' ἑκάτου τούτων, κατὰ τὸ ὁλοσχερέςερον τῆς ἐπιβολῆς τῆς συνισαμένης ἐκκεντρότητος ἐκ τῆς πηλικότητος τῶν περὶ τὰς μεγίςας καὶ ἐλαχίςας ἀποςάσεις τοῦ ἐπικύκλου προηγήσεων, ἡ διὰ τοῦ μεγίςου διαφόρου τῆς παρὰ τὸν ζωδιακὸν ἀνωμαλίας εὑρισκομένη διπλασίων ἔγγιςα καταλαμβάνεται. Τὰς δὲ ἀποδείξεις, δι' ὧν τὰς πηλικότητας ἑκατέρας τῶν ἀνωμαλιῶν καὶ τὰ ἀπόγεια συνισάμεθα, μηκέτι δυναμένας τὸν αὐτὸν τρόπον τοῖς δυσὶν ἐκείνοις καὶ ἐπὶ τούτων ἐφοδευθῆναι, διὰ τὸ πᾶσαν αὐτοὺς ἀπὸ τοῦ ἡλίου ποιεῖσθαι διάςασιν, καὶ μὴ γίνεσθαι φανερὸν ἐκ τηρήσεων ὥσπερ ἐπὶ τῶν μεγίςων

ἀποσάσεων τοῦ τοῦ Ερμοῦ καὶ τοῦ τῆς Αφροδίτης, πότε κατὰ τὴν ἐπαφὴν ὁ ἀστὴρ γίνεται, τῆς ἐκβαλλομένης εὐθείας ἀπὸ τῆς ὄψεως ἡμῶν ἐφαπτομένης τοῦ ἐπικύκλου. Τοῦ τοιούτου δὴ μὴ προχωροῦντος, συγχεχρήμεθα ταῖς πρὸς τὴν μέσην τοῦ ἡλίου πάροδον τηρουμέναις αὐτῶν διαμέτροις στάσεσιν, ἀφ' ὧν πρῶτον τοὺς τῆς ἐκκεντρότητος λόγους, καὶ τὰ ἀπόγεια δείκνυμεν· ἐπειδήπερ ἐν μόναις ταῖς οὕτω θεωρουμέναις παρόδοις χωριζομένην εὑρίσκομεν καθ' ἑαυτὴν τὴν ζωδιακὴν ἀνωμαλίαν, μηδεμιᾶς γινομένης τότε παρὰ τὴν πρὸς τὸν ἥλιον ἀνωμαλίαν διαφορᾶς.

toute distance du soleil, sans que cette distance nous manifeste en quel point l'astre est dans la tangente menée de notre œil à l'épicycle; faute dequoi, nous nous sommes servis de leurs positions diamétrales observées relativement aux lieux moyens du soleil, et par leurs secours nous démontrons d'abord les proportions d'excentricité et les apogées. Attendu que dans leurs passages ainsi considérés, nous trouvons l'anomalie zodiacale à part, l'anomalie provenant du soleil étant tout-à-fait nulle dans cette circonstance.



Εσω γὰρ ἔκκεντρος κύκλος τοῦ ἀστέρος, ἐφ' οὗ τὸ κέντρον φέρεται τοῦ ἐπικύκλου, ὁ ΑΒΓ περὶ κέντρον τὸ Δ, καὶ ἡ μὲν διὰ τοῦ ἀπογείου διάμετρος ἡ ΑΓ, ἐπ' αὐτῆς δὲ τὸ μὲν Ε σημεῖον τὸ κέντρον τοῦ ζωδιακοῦ, τὸ δὲ Ζ τοῦ ἐκκέντρου, πρὸς ὃν ἡ κατὰ μῆκος μέση πάροδος τοῦ ἐπικύκλου θεωρεῖται. Καὶ γραφέντος περὶ τὸ Β τοῦ ΗΘΚΛ ἐπικύκλου, ἐπεζεύχθωσαν ἥτε ΖΛΒΘ, καὶ ἡ ΗΒΚΕΜ· λέγω πρῶτον ὅτι ὅταν ὁ ἀστὴρ κατὰ τὴν ΕΗ διὰ τοῦ Β κέντρου τοῦ ἐπικύκλου φαίνηται, καὶ ἡ μέση πάντοτε τοῦ ἡλίου πάροδος ἐπὶ τῆς αὐτῆς εὐθείας ἔσαι, καὶ κατὰ μὲν τὸ Η γινόμενος ὁ ἀστὴρ συνοδεύει τῇ μέσῃ τοῦ ἡλίου παρόδῳ καὶ αὐτῇ πρὸς τῷ Η θεωρουμένῃ· κατὰ δὲ τὸ Κ διάμετρος αὐτῇ γενήσεται πρὸς τῷ Μ σημείῳ θεωρουμένη. Επειδὴ γὰρ αἱ ἀπὸ τῶν ἀπογείων ἐφ' ἑκάστου τούτων τῶν ἀστέρων

Car soit décrit autour du centre D le cercle excentrique ABG sur lequel est porté le centre de l'épicycle, et son diamètre AG sur lequel marquez E pour le centre du zodiaque, et Z pour un point de l'excentrique, auquel on rapporte le mouvement moyen de l'épicycle en longitude. Après avoir décrit autour du point B l'épicycle HΓKL, joignez ZLBΓ et HBKEM. Je dis d'abord que quand l'astre paroît dans la ligne EH qui passe par le centre de l'épicycle, le lieu moyen du soleil sera toujours sur cette droite, et l'astre étant en H, se rencontre avec le lieu moyen du soleil vu sur la même ligne que H; mais l'astre étant en K, il sera diamétralement opposé au lieu vu en M. Car puisque les distances moyennes de longitude et d'anomalie depuis les apogées, pour chacun de

ces astres, combinées ensemble, font le lieu moyen du soleil pris depuis le point de départ, l'angle au centre Z qui mesure le mouvement uniforme de l'astre en longitude, et l'angle en E qui contient le mouvement apparent, ont pour différence, l'angle en B qui renferme le mouvement uniforme de l'astre dans l'épicycle. D'après cela, il est évident que quand l'astre est au point H, il s'en manquera de l'angle HBT, qu'il ne soit retourné au point T de l'apogée. Or, cet angle combiné avec l'angle AZB, c'est-à-dire, retranché de cet angle, donne l'angle AEH du mouvement moyen du soleil, et le même que l'angle apparent de l'astre. Mais si l'astre se meut dans le point K, il sera encore dans l'épicycle sous l'angle TBK qui, combiné (*ajouté*) avec l'angle AZB, donnera le mouvement moyen du soleil depuis l'apogée A, contenant le demi-cercle, plus l'angle AZB moins l'angle LBK, c'est-à-dire l'angle GEM (*a*), opposé à l'angle apparent de l'astre (*voy. la note de M. Delambre*). C'est pourquoi, dans ces aspects, la droite menée du centre B de l'épicycle à l'astre, et celle qui est menée du point E où est le spectateur, au lieu moyen du soleil, coïncideront ensemble en une seule et même droite. Mais dans les autres distances, elles feront des inclinaisons différentes et



μέσαι διαστάσεις μήκους τε καὶ ἀνωμαλίας, συντεθεῖσαι ποιοῦσι τὴν ἀπὸ τῆς ἀρχῆς μέσην τοῦ ἡλίου πάροδον, τῆς δὲ πρὸς τῷ Ζ κέντρῳ γωνίας, ἥτις περιέχει τὴν κατὰ μῆκος τοῦ ἀστέρος ὁμαλὴν κίνησιν, καὶ τῆς πρὸς τῷ Ε, ἥτις περιέχει τὴν φαινομένην, ὑπεροχὴ πάντοτε γίνεται ἡ πρὸς τῷ Β γωνία, περιέχουσα τὴν ὁμαλὴν κατὰ τὸν ἐπίκυκλον αὐτοῦ πάροδον, δῆλον ὅτι, ὅταν μὲν κατὰ τὸ Η σημεῖον ᾖ ὁ ἀστὴρ, ἐλλείψει τῆς ἐπὶ τὸ Θ ἀπόγειον ἀποκαταστάσεως τὴν ὑπὸ ΗΒΘ γωνίαν, ἥτις συντεθεῖσα μετὰ τῆς ὑπὸ ΑΖΒ, τουτέστι ληφθεῖσα ὑπ' αὐτῆς, ποιεῖ τὴν περιεχομένην ὑπὸ τῆς ἡλιακῆς μέσης παρόδου γωνίαν τὴν ὑπὸ ΑΕΗ, τὴν αὐτὴν οὖσαν τῇ φαινομένῃ τοῦ ἀστέρος. Ὅταν δὲ κατὰ τὸ Κ σημεῖον ᾖ κεκινημένος, πάλιν ἔσαι κατὰ τὸν ἐπίκυκλον τὴν ὑπὸ ΘΒΚ γωνίαν, ἥτις συντεθεῖσα μετὰ τῆς ὑπὸ ΑΖΒ, ποιήσει τὴν ἀπὸ τοῦ Α ἀπογείου μέσην τοῦ ἡλίου πάροδον, περιέχουσαν ἡμικύκλιόν τε, καὶ ἔτι τὴν ὑπὸ ΑΖΒ γωνίαν λείπουσαν τὴν ὑπὸ ΛΒΚ, τουτέστι τὴν ὑπὸ ΓΕΜ, πάλιν κατὰ διάμετρον οὖσαν τῇ φαινομένῃ τοῦ ἀστέρος. Διὰ τοῦτο δὲ καὶ ἐπὶ μὲν τῶν τοιούτων σχηματισμῶν, ἥτε ἀπὸ τοῦ Β κέντρου τοῦ ἐπικύκλου ἐπὶ τὸν ἀστέρα ἐκβαλλομένη εὐθεῖα, καὶ ἡ ἀπὸ τοῦ Ε τοῦ κατὰ τὴν ὄψιν ἡμῶν ἐπὶ τὴν μέσην πάροδον τοῦ ἡλίου κατὰ μιᾶς καὶ τῆς αὐτῆς εὐθείας συμπίπτουσιν ἀμφότεραι· ἐπὶ δὲ τῶν ἄλλων πασῶν διαστάσεων, διαφόρους μὲν ποιοῦσι

τὰς προσνεύσεις, παραλλήλως δ' ἀλλήλαις πάντοτε.

Εἰν γὰρ καθ' ἣν δήποτε θέσιν ἐπὶ τῆς ἐκκειμένης καταγραφῆς, ἀπὸ μὲν τοῦ Β ἐπὶ τὸν ἀστέρα ἀγάγωμεν εὐθεῖαν ὡς τὴν ΒΝ, ἀπὸ δὲ τοῦ Ε ἐπὶ τὴν μέσην τοῦ ἡλίου πάροδον ὡς τὴν ΕΞ, ἴση μὲν ἔσαι διὰ τὰ προειρημένα ἡ ὑπὸ ΑΕΞ γωνία συναμφοτέραις τῇ τε ὑπὸ ΑΖΘ καὶ τῇ ὑπὸ ΘΒΝ, ἴση δὲ καὶ ἡ ὑπὸ ΑΖΘ συναμφοτέραις τῇ τε ὑπὸ ΑΕΗ καὶ τῇ ὑπὸ ΘΒΗ· κοινῆς δ' ἀφαιρεθείσης τῆς ὑπὸ ΑΕΗ, καὶ λοιπὴ ἡ ὑπὸ ΗΕΞ λοιπῇ τῇ ὑπὸ ΗΒΝ ἴση ἔσαι· παράλληλος ἄρα ἐστὶν ἡ ΕΖ εὐθεῖα τῇ ΒΝ. Επειδὴ οὖν κατὰ τοὺς εἰρημένους σχηματισμοὺς συνοδικούς τε καὶ ἀκρονύκτους, τοὺς πρὸς τὴν μέσην τοῦ ἡλίου πάροδον θεωρουμένους, διὰ τοῦ κέντρου τοῦ ἐπικύκλου τὸν ἀστέρα θεωρούμενον εὑρίσκομεν, ὥσπερ ἂν εἰ μηδόλως κατ' ἐπικύκλου τὴν κίνησιν εἶχεν, ἀλλ' αὐτὸς ἐπὶ τοῦ ΑΒΓ κύκλου τὴν θέσιν ἔχων, ὑπὸ τῆς ΖΒ εὐθείας ὁμαλῶς περιήγετο τὸν αὐτὸν τρόπον τῷ κέντρῳ τοῦ ἐπικύκλου, δῆλον ὅτι δυνατὸν μὲν ἔσαι διὰ τῶν τοιούτων παρόδων τοὺς παρὰ τὴν ἐκκεντρότητα τῆς ζωδιακῆς ἀνωμαλίας λόγους καθ' αὐτοὺς ἀποδεῖξαι. Μὴ φαινομένων δὲ τῶν συνοδικῶν σχηματισμῶν, ὑπολείπεται διὰ τῶν ἀκρονύκτων τὰς ἐφόδους τῶν ἀποδείξεων ποιήσασθαι.



cependant toujours parallèles entr'elles.

Car si, dans cette figure, pour une position quelconque, nous tirons une droite telle que BN du point B sur l'astre, et une autre telle que EX du point E sur le lieu moyen du soleil, l'angle AEX sera, pour les raisons alléguées précédemment, égal aux deux angles AZT et TBN; mais l'angle AZT est égal aux deux angles AEH et TBH. Retranchant l'angle AEH commun, reste l'angle HEX égal à l'angle HBN; donc la droite EX est parallèle à la droite BN. Maintenant, puisque suivant les aspects dont nous avons parlé, c'est-à-dire les conjonctions synodiques, et les oppositions qui se voient dans le lieu moyen du soleil, nous trouvons l'astre vu par le centre de l'épicycle, comme s'il n'avoit aucun mouvement dans l'epicycle; mais comme si, ayant sa position sur le cercle ABG, il faisoit sa révolution par la droite ZB, de la méme manière que le centre de l'épicycle, il est clair qu'on pourra, par le moyen de ces lieux, démontrer les proportions d'anomalie zodiacale dépendante de l'excentricité. Mais comme les conjonctions synodiques ne se voient point, il faut faire les démonstrations par le moyen des oppositions (*acronyctes*).

CHAPITRE VII.

DÉMONSTRATION DE L'EXCENTRICITÉ ET DE L'APOGÉE DE MARS.

De même que pour la lune, en prenant les lieux et les temps de trois de ses éclipses totales, nous avons démontré graphiquement la proportion de l'anomalie et le lieu du périgée : on observe ici par le moyen de l'astrolabe avec le plus de précision que cela peut se faire, les lieux de trois oppositions diamétrales, par rapport au lieu moyen du soleil, pour chacun de ces astres. Et d'après ce que les observations ont donné pour les lieux moyens du soleil, on calcule en détail et avec la plus grande précision le temps et le lieu de l'opposition diamétrale, et l'on démontre ainsi, la proportion de l'excentricité et l'apogée.

D'abord pour Mars, nous avons pris trois oppositions (*acronyctes*). Nous avons observé la première dans la 15e année d'Adrien, à 1 heure équinoxiale après minuit du 26 au 27 du mois égyptien Tubi, au 21e degré des gémeaux; la seconde dans la 19e année d'Adrien, à 3 heures avant minuit du 6 au 7 du mois égyptien Pharmouthi, sur 28d 50′ du lion; et la troisième, la 2e année d'Antonin, à 2 heures avant minuit du 12 au 13 (*a*) du mois égyptien Epiphi, sur 2d 34′ du sagittaire. Or les intervalles de ces oppositions comprennent depuis la première jusqu'à la seconde,

ΚΕΦΑΛΑΙΟΝ Ζ.

ΑΠΟΔΕΙΞΙΣ ΤΗΣ ΤΟΥ ΑΡΕΩΣ ΕΚΚΕΝΤΡΟΤΗΤΟΣ ΚΑΙ ΤΟΥ ΑΠΟΓΕΙΟΥ.

Ωσπερ οὖν ἐπὶ τῆς σελήνης λαβόντες τριῶν πανσεληνιακῶν ἐκλείψεων τούς τε τόπους καὶ τοὺς χρόνους, ἀπεδείκνυμεν διὰ τῶν γραμμῶν τόν τε τῆς ἀνωμαλίας λόγον καὶ τὸν τοῦ ἀπογείου τόπον, τὸν αὐτὸν τρόπον καὶ ἐνταῦθα τριῶν ἀκρονύκτων τῶν πρὸς τὴν μέσην τοῦ ἡλίου πάροδον διαμέτρων, καθ' ἕκαστον τῶν ἀστέρων τούτων, τούς τε τόπους τηρήσαντες, ὡς ἔνι μάλιστα ἀκριβῶς διὰ τῶν ἀστρολάβων ὀργάνων, καὶ ἀπὸ τοῦ κατὰ τὰς τηρήσεις μέσων τοῦ ἡλίου παρόδων, τὸν πρὸς τὸ λεπτομερέστερον τῆς διαστάσεως χρόνον τε καὶ τόπον προσεπιλογισάμενοι, ἀπὸ τούτων δείκνυμεν τόν τε τῆς ἐκκεντρότητος λόγον καὶ τὸ ἀπόγειον.

Επὶ πρώτου τοίνυν τοῦ τοῦ Αρεως, ἐλάβομεν τρεῖς ἀκρονύκτους, ὧν τὴν μὲν πρώτην ἐτηρήσαμεν τῷ ιε̄ ἔτει Αδριανοῦ κατ' Αἰγυπτίους Τυβὶ κ̄ϛ̄ εἰς τὴν κ̄ζ̄, μετὰ α̅ ὥραν ἰσημερινὴν τοῦ μεσονυκτίου, περὶ διδύμων μοίρας κα̅· τὴν δὲ δευτέραν τῷ ιθ̄ ἔτει Αδριανοῦ, κατ' Αἰγυπτίους Φαρμουθὶ ϛ̄ εἰς τὴν ζ̄ πρὸ ὡρῶν γ̄ τοῦ μεσονυκτίου περὶ λέοντος μοίρας κ̄η̄ ν̄· τὴν δὲ τρίτην τῷ δευτέρῳ ἔτει Αντωνίνου, κατ' Αἰγυπτίους Επιφὶ ιβ̄ εἰς τὴν ιγ̄, πρὸ β̄ ὡρῶν τοῦ μεσονυκτίου περὶ τοξότου μοίρας β̄ λδ̄′. Οἱ μὲν οὖν χρόνοι τῶν διαστάσεων περιέχουσιν, ἀπὸ μὲν τῆς πρώτης ἀκρονύκτου ἐπὶ τὴν δευτέραν,

ἔτη Αἰγυπτιακὰ δ̄, καὶ ἡμέρας ξθ̄, καὶ ὥρας ἰσημερινὰς κ̄. Ἀπὸ δὲ τῆς δευτέρας ἐπὶ τὴν τρίτην ἔτη δ̄ ὁμοίως, καὶ ἡμέρας ζ̄, καὶ ὥραν ἰσημερινὴν μίαν. Συνάγονται δὲ ἐκμὲν τοῦ τῆς πρώτης διασάσεως χρόνου, μεθ' ὅλους κύκλους μήκους, κινήσεως μοῖραι πᾱ μδ', ἐκ δὲ τοῦ τῆς δευτέρας μοῖραι ζ̄ κή. Οὐδενὶ γὰρ ἀξιολόγῳ διοίσει, κἂν ἀπὸ τῶν ὁλοσχερέστερον ἐκτεθειμένων περιοδικῶν ἀποκαταστάσεων, ἐπί γε τοῦ τοσούτου χρόνου τὰς μέσας κινήσεις ἐπιλογιζώμεθα. Δῆλον δ' ὅτι καὶ κατὰ μὲν τὴν πρώτην διάστασιν ὁ φαινόμενος ἀστὴρ κεκίνηται μεθ' ὅλους κύκλους μοίρας ξ̄ ζ̄ ν', κατὰ δὲ τὴν δευτέραν μοίρας ζ̄ μδ'.

4 années égyptiennes et 69 jours et deux heures équinoxiales, depuis la seconde jusqu'à la troisième, 4 années aussi et 96 jours une heure équinoxiale. On trouve en sus des circonférences entières, à partir de la première opposition, que le mouvement moyen dans l'intervalle de la première à la seconde sera de 81d 44′, et de la seconde à la troisième de 95d 28′. Car il n'y aura pas de différence bien considérable, même si nous calculons les mouvemens moyens, pour tout ce temps, d'après les retours périodiques pris à peu près. Il est donc clair que depuis la première opposition jusqu'à la seconde, la longitude vraie de l'astre a augmenté de 67d 50′ en sus des circonférences entières, et depuis la seconde jusqu'à la troisième, de 93d 44′.



Γεγράφθωσαν δὴ ἐν τῷ τοῦ ζωδιακοῦ ἐπιπέδῳ, τρεῖς ἴσοι κύκλοι, ὧν ὁ μὲν τὸ κέντρον φέρων τοῦ ἐπικύκλου τοῦ Ἄρεως ἔστω ὁ ΑΒΓ περὶ κέντρον τὸ Δ, ὁ δὲ τῆς ὁμαλῆς κινήσεως ἔκκεντρος ὁ ΕΖΗ περὶ κέντρον τὸ Θ, ὁ δὲ ὁμόκεντρος τῷ ζωδιακῷ ὁ ΚΛΜ περὶ κέντρον τὸ Ν, ἡ δὲ διὰ πάντων τῶν κέντρων διάμετρος ἡ ΞΘΠΡ. Ὑποκείσθω δὲ τὸ μὲν Α, καθ' οὗ ἦν τὸ τοῦ ἐπικύκλου κέντρον ἐν τῇ πρώτῃ ἀκρονύκτῳ, τὸ δὲ Β, καθ' οὗ ἦν ἐν τῇ δευτέρᾳ ἀκρονύκτῳ, τὸ δὲ Γ, καθ' οὗ ἦν ἐν τῇ τρίτῃ ἀκρονύκτῳ. Καὶ ἐπεζεύχθωσαν αἵ τε ΘΑΕ καὶ ΘΒΖ, καὶ ΘΗΓ, καὶ ΝΚΑ, καὶ ΝΛΜ καὶ ΝΓΜ, ὥστε τὴν μὲν ΕΖ τοῦ ἐκκέντρου περιφέρειαν μοιρῶν εἶναι τῶν τῆς πρώτης περιοδικῆς διασάσεως πᾱ μδ', τὴν δὲ ΖΗ τῶν τῆς δευτέρας ζ̄ κή, καὶ

Décrivons, dans le plan du zodiaque, trois cercles égaux, dont l'un qui porte le centre de l'épicycle de Mars, soit ABG autour du centre D; l'excentrique EZH, du mouvement uniforme autour du centre T; le concentrique au zodiaque autour du centre N; et la droite XTPR qui passe par les centres de tous ces cercles. Supposons A le point où étoit le centre de l'épicycle dans la première opposition; B celui où il étoit dans la seconde; G celui où il étoit dans la troisième. Soient jointes TAE, TBZ, THG, NKA, NLM, NGM; ensorte que l'arc EZ de l'excentrique, soit de 81d 44′, à partir de la première opposition jusqu'à la seconde, pour le premier intervalle; ZH de 95d 28′ de la seconde à la

troisième, pour le second intervalle ; et que l'arc KL du zodiaque contienne les 67^{d} 50′ du mouvement apparent, ou vrai, dans le premier intervalle ; et LM les 93^{d} 44′ de ce mouvement dans le second. Maintenant, si les arcs EZ et ZH de l'excentrique étoient soutendus par les arcs KL et LM du zodiaque, nous ne chercherions rien autre chose pour la démonstration de l'excentricité. Mais comme ceux-ci soutendent les arcs AB et BG de l'excentrique moyen, qui ne sont pas donnés, si nous joignons NSE, NTZ, NHU, les arcs ST et TU du zodiaque soutendent alors les arcs EZ et ZH de l'excentrique. Mais ces arcs du zodiaque ne sont pas plus donnés que les précédens : il faudrait auparavant que les différences KS, LT, MU le fussent, pour pouvoir déterminer exactement la vraie proportion de l'excentricité par les arcs correspondans EZH et STU. Or comme il n'est pas non plus possible de les prendre exactement avant de connoître la proportion de l'excentricité et le lieu de l'apogée, ils seront au moins donnés à peu près, quoique ces dernières quantités ne soient pas exactement connues auparavant, parceque leurs différences ne sont pas grandes. Nous ferons donc le calcul d'abord en regardant comme insensibles les différences entre les arcs STU et KLM.



Soit ABG le cercle excentrique du mouvement uniforme de Mars, et soit A le point de la première opposition, B celui de la seconde, G celui de la troisième. Prenons-en dedans le point D pour le

πάλιν τὴν μὲν ΚΛ περιφέρειαν τοῦ ζωδιακοῦ, τῶν τῆς φαινομένης πρώτης διαστάσεως μοιρῶν ξζ̄ ν′, τὴν δὲ ΛΜ τῶν τῆς δευτέρας ιγ̄ μδ′. Εἰ μὲν οὖν αἱ ΕΖ καὶ ΖΗ τοῦ ἐκκέντρου περιφέρειαι ὑπὸ τῶν ΚΛ καὶ ΛΜ τοῦ ζωδιακοῦ περιφερειῶν ὑπετείνοντο, οὐδὲν ἂν ἄλλο πρὸς τὴν δεῖξιν ἔτι τῆς ἐκκεντρότητος ἐζητοῦμεν. Επεὶ δ' αὐταὶ μὲν τὰς ΑΒ καὶ ΒΓ τοῦ μέσου ἐκκέντρου ὑποτείνουσι μὴ διδομένας, ἐὰν δ' ἐπιζεύξωμεν τὰς ΝΣΕ, καὶ ΝΤΖ, καὶ ΝΗΥ, πάλιν τὰς ΕΖ καὶ ΖΗ τοῦ ἐκκέντρου περιφερείας αἱ ΣΤ καὶ ΤΥ τοῦ ζωδιακοῦ ὑποτείνουσι, μηδὲ αὐταὶ δηλονότι δεδομέναι, δεήσει πρότερα δοθῆναι τὰ ΚΣ καὶ ΛΤ καὶ ΜΥ διάφορα τμήματα, ἵνα ἀπὸ τῶν συζυγουσῶν περιφερειῶν τῶν τε ΕΖΗ καὶ τῶν ΣΤΥ πρὸς ἀκρίβειαν ὁ τῆς ἐκκεντρότητος λόγος ἀποδειχθῇ. Επεὶ δ' οὔτε ταύτας οἷόντέ ἐστιν ἀκριβῶς λαβεῖν πρότερον τοῦ τε τῆς ἐκκεντρότητος λόγου καὶ τοῦ ἀπογείου, δοθήσονται μέντοι ἔγγιστα, κἂν μὴ ἀκριβῶς ἐκεῖνα προϋπάρχῃ, διὰ τὸ μὴ μεγάλας αὐτῶν γίγνεσθαι τὰς διαφοράς, ποιησόμεθα πρότερον τὸν ἐπιλογισμὸν ὡς μηδενὶ ἀξιολόγῳ διαφερουσῶν παρὰ τὰς τῶν ΣΤΥ καὶ ΚΛΜ περιφερειῶν.

Εστω γὰρ ὁ τῆς ὁμαλῆς παρόδου τοῦ Αρεως ἔκκεντρος κύκλος ὁ ΑΒΓ, καὶ ὑποκείσθω τὸ μὲν Α σημεῖον τῆς πρώτης ἀκρονύκτου, τὸ δὲ Β τῆς δευτέρας, τὸ δὲ Γ τῆς τρίτης. Εἰλήφθω ἐντὸς αὐτοῦ τὸ

κέντρον τοῦ ζωδιακοῦ, ἐφ' οὗ ἡ ὄψις ἡμῶν τὸ Δ, καὶ ἐπεζεύχθωσαν εὐθεῖαι πάντοτε ἀπὸ τῶν τριῶν σημείων τῶν ἀκρονύκτων ἐπὶ τὸ τῆς ὄψεως ὡς νῦν, ἥτε ΑΔ καὶ ἡ ΒΔ καὶ ἡ ΓΔ. Καὶ ἐκβεβλήθω μὲν καθόλου μία τῶν ἐπεζευγμένων γ̄ εὐθειῶν ἐπὶ τὴν ἐναντίαν τῷ ἐκκέντρῳ περιφέρειαν, ὡς ἐνθάδε ἡ ΓΔΕ, τὰ δὲ λοιπὰ δύο σημεῖα τῶν ἀκρονύκτων ἐπιζευγνύτω εὐθεῖα, ὡς ἐπὶ τούτων ἡ ΑΒ· ἔπειτα ἀπὸ τῆς γενομένης τομῆς τοῦ ἐκκέντρου ὑπὸ τῆς ἐκβεβλημένης εὐθείας, οἷον τοῦ Ε, ἐπιζευγνύσθωσαν μὲν εὐθεῖαι ἐπὶ τὰ λοιπὰ δύο σημεῖα τῶν ἀκρονύκτων, ὡς ἐνθάδε ἥτε ΕΑ καὶ ἡ ΕΒ. Κάθετοι δ' ἀγέσθωσαν ἐπὶ τὰς ἀπὸ τῶν εἰρημένων δύο σημείων ἐπὶ τὸ τοῦ ζωδιακοῦ κέντρον ἐπιζευγνυμένας εὐθείας, ὡς ἐπὶ τούτων, ἐπὶ μὲν τὴν ΑΔ ἡ ΕΖ, ἐπὶ δὲ τὴν ΒΔ ἡ ΕΗ· καὶ ἔτι ἀπὸ τοῦ ἑτέρου τῶν εἰρημένων δύο σημείων κάθετος ἀγέσθω πρὸς τὴν ἀπὸ τοῦ ἑτέρου αὐτῶν ἐπὶ τὸ γενόμενον τοῦ ἐκκέντρου περισσὸν σημεῖον ἐπιζευχθεῖσαν, ὡς ἐνθάδε ἀπὸ τοῦ Α ἐπὶ τὴν ΒΕ, εὐθεῖα ἡ ΑΘ. Ταῦτα μὲν οὖν ἀεὶ τηροῦντες ἐπὶ τῆς τοιαύτης καταγραφῆς, καθ' ὃν ἂν βουλώμεθα τρόπον, τοὺς αὐτοὺς λόγους ἐπὶ τῶν ἀριθμῶν εὑρήσομεν φερομένους, ἡ δὲ λοιπὴ δεῖξις ἀπὸ τῶν προκειμένων ἐπὶ τοῦ τοῦ Ἄρεως περιφερειῶν ἔσαι φανερὰ τὸν τρόπον τοῦτον.



Ἐπεὶ γὰρ ἡ ΒΓ τοῦ ἐκκέντρου περιφέρεια ὑπόκειται ὑποτείνουσα τοῦ ζωδιακοῦ μοίρας 4γ̄ μδ', εἴη ἂν ἡ μὲν ὑπὸ ΒΔΓ

centre du zodiaque, centre d'où le spectateur regarde, et menons à ce lieu D de l'œil les lignes AD, BD, GD, des trois points des oppositions acronyctes. Prolongeons une de ces trois droites, comme ici GDE, jusqu'à l'arc opposé de l'excentrique, joignons les deux autres points d'opposition acronycte par une droite AB. Ensuite, de la section E de l'excentrique faite par la droite prolongée GD, menons des droites EA, EB, aux deux autres points des oppositions acronyctes. Abaissons sur les droites menées de ces deux points au centre du zodiaque, des perpendiculaires EZ sur AD, et EH sur BD. Et de l'un de ces deux points sur la droite menée de l'autre au centre de l'excentrique, comme ici de A sur BE, menons la perpendiculaire AT. En observant ceci dans la construction de la figure, de la manière qui nous paroîtra la plus commode (*b*), nous trouverons les mêmes proportions pour les nombres; et le reste de la démonstration, d'après les arcs rapportés ci-dessus pour Mars, sera évident par l'application que nous allons en faire de la manière suivante: (*c'est-à-dire qu'il y a trois lignes qu'on peut prolonger; on en choisit une à volonté; mais quelque choix que l'on fasse, on arrivera toujours aux mêmes résultats.*)

Car puisque l'arc BH de l'excentrique est supposé soutendre 93d 44′ du zodiaque; l'angle BDG au centre du zodiaque

*

sera de 93d 44′ des degrés dont 360 font quatre angles droits, et de 187d 28′ de ceux dont 360 font deux angles droits, et l'angle de suite EDH sera de 172d 32′. Ainsi l'arc soutendu par EH est de 172d 32′ des degrés dont le cercle décrit autour du rectangle DEH en contient 360, et la droite EH est de 119p 45′ des parties dont l'hypoténuse DE en contient 120. Pareillement, puisque l'arc BG est de 95d 28′, l'angle BEG inscrit à la circonférence sera de 95d 28′ des degrés dont 360 font deux angles droits. Or, l'angle BDE est de 172d 32′, donc l'autre angle EBH en vaudra 92d. Ainsi l'arc soutendu par EH sera de ces 92d dont le cercle décrit autour du rectangle BEH en contient 360, et la droite EH aura 86p 19′ des parties dont l'hypothénuse BE en a 120. Donc EH ayant été démontrée de 119p 46′, et ED de 120d, BE en aura 166p 29′.

Puisqu'encore l'arc entier ABG de l'excentrique est supposé soutendre la somme 161p 24′ des deux intervalles, l'angle ADG vaudra ces 161d 34′ dont 360 font quatre angles droits, et l'angle ADE (de supplément) en vaudra 18d 26′, et 36d 52′ des degrés dont 368 font deux angles droits. L'arc soutendu par EZ est donc de 36d 52′ des degrés dont le cercle décrit autour du rectangle DEZ en contient 360, et la droite EZ est de 37d 57′ des parties dont l'hypoténuse DE en contient 120. Pareillement, si l'arc ABG de l'excentrique

γωνία πρὸς τῷ κέντρῳ οὖσα τοῦ ζωδιακοῦ οἵων μέν εἰσιν αἱ τέσσαρες ὀρθαὶ τξ, τοιούτων ζγ μδ′, οἵων δ' αἱ δύο ὀρθαὶ τξ, τοιούτων ρπζ κη′, ἡ δ' ἐφεξῆς αὐτῇ ἡ ὑπὸ ΕΔΗ τῶν αὐτῶν ροβ λβ′. Ωστε καὶ ἡ μὲν ἐπὶ τῆς ΕΗ περιφέρεια τοιούτων ἐστὶν ροβ λβ′, οἵων ὁ περὶ ΔΕΗ ὀρθογώνιον κύκλος τξ, ἡ δὲ ΕΗ εὐθεῖα τοιούτων ριθ με′, οἵων ἐστὶν ἡ ΔΕ ὑποτείνουσα ρκ. Ομοίως ἐπεὶ ἡ ΒΓ περιφέρεια ἐστὶ μοιρῶν ζε κη′, εἴη ἂν καὶ ἡ ὑπὸ ΒΕΓ γωνία πρὸς τῇ περιφερείᾳ οὖσα, τοιούτων ζε κη′, οἵων εἰσὶν αἱ δύο ὀρθαὶ τξ. Τῶν δ' αὐτῶν ξθ ἡ ὑπὸ ΒΔΕ γωνία ροβ λβ′. Καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΕΒΗ τῶν αὐτῶν ἔσαι ζβ. Ωστε καὶ ἡ μὲν ἐπὶ τῆς ΕΗ περιφέρεια τοιούτων ἐστὶν ζβ, οἵων ὁ περὶ τὸ ΒΕΗ ὀρθογώνιον κύκλος τξ, ἡ δὲ ΕΗ εὐθεῖα τοιούτων πε ιθ′, οἵων ἐστὶν ἡ ΒΕ ὑποτείνουσα ρκ. Καὶ οἵων ἄρα ἡ μὲν ΕΗ ἐδείχθη ριθ με′, ἡ δὲ ΕΔ ὁμοίως ρκ, τοιούτων ξθ ἡ ΒΕ ἔσαι ρξε κθ′.



Πάλιν ἐπεὶ ἡ ΑΒΓ ὅλη περιφέρεια τοῦ ἐκκέντρου ὑποτείνουσα ὑπόκειται τοῦ ζωδιακοῦ τὰς συναγομένας ἀμφοτέρων τῶν διασάσεων μοίρας ρξα λδ′, εἴη ἂν καὶ ἡ μὲν ὑπὸ ΑΔΓ γωνία τοιούτων ρξα λδ′, οἵων εἰσὶν αἱ τέσσαρες ὀρθαὶ τξ, λοιπὴ δὲ ἡ ὑπὸ ΑΔΕ τῶν αὐτῶν μὲν ιπ κς′, οἵων δ' αἱ δύο ὀρθαὶ τξ, τοιούτων λε νβ′, ὥσε καὶ ἡ μὲν ἐπὶ τῆς ΕΖ περιφέρεια τοιούτων ἐστὶ λε νβ′, οἵων ὁ περὶ τὸ ΔΕΖ ὀρθογώνιον κύκλος τξ, ἡ δὲ ΕΖ εὐθεῖα τοιούτων λζ νζ′, οἵων ἐστὶν ἡ ΔΕ ὑποτείνουσα ρκ. Ομοίως ἐπεὶ ἡ ΑΒΓ τοῦ ἐκκέντρου

περιφέρεια συνάγεται μοιρῶν ροζ̄ ιβ′, εἴη ἂν καὶ ἡ ὑπὸ ΑΕΓ γωνία τοιούτων ροζ̄ ιβ′, οἵων εἰσὶν αἱ δύο ὀρθαὶ τξ̄. Τῶν δ' αὐτῶν ἦν καὶ ἡ ὑπὸ ΑΔΕ γωνία λς̄ ιβ′. Καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΔΑΕ τῶν αὐτῶν ἐστιν ρμε̄ νς′. Ωστε καὶ ἡ μὲν ἐπὶ τῆς ΕΖ περιφέρεια τοιούτων ἐστὶν ρμε̄ νς′, οἵων ὁ περὶ τὸ ΔΕΖ ὀρθογώνιον κύκλος τξ̄, ἡ δὲ ΕΖ εὐθεῖα τοιούτων ριδ̄ μδ′, οἵων ἐστὶν ἡ ΑΕ ὑποτείνουσα ρκ̄. Καὶ οἵων ἄρα ἡ μὲν ΕΖ ἐδείχθη λζ̄ νζ′, ἡ δὲ ΕΔ εὐθεῖα ρκ̄, τοιούτων καὶ ἡ ΑΕ ἔσαι λθ̄ μβ′.

Πάλιν ἐπεὶ ἡ ΑΒ τοῦ ἐκκέντρου περιφέρεια μοιρῶν ἐστιν πᾱ μδ′, εἴη ἂν καὶ ἡ ὑπὸ ΑΕΒ γωνία τοιούτων πᾱ μδ′, οἵων εἰσὶν αἱ δύο ὀρθαὶ τξ̄. Ωστε καὶ ἡ μὲν ἐπὶ τῆς ΑΘ περιφέρεια τοιούτων ἐστὶν πᾱ μδ′, οἵων ὁ περὶ τὸ ΑΕΘ ὀρθογώνιον κύκλος τξ̄, ἡ δὲ ἐπὶ τῆς ΕΘ τῶν λοιπῶν εἰς τὸ ἡμικύκλιον ξη̄ ις′. Καὶ τῶν ὑπ' αὐτὰς ἄρα εὐθειῶν ἡ μὲν ΑΘ ἔσαι τοιούτων οη̄ λα′, οἵων ἐστὶν ἡ ΑΕ ὑποτείνουσα ρκ̄, ἡ δὲ ΕΘ τῶν αὐτῶν ζ̄ με′. Ωστε καὶ οἵων ἡ μὲν ΑΕ ἐδείχθη λθ̄ μβ′, ἡ δὲ ΔΕ ὑπόκειται ρκ̄, τοιούτων καὶ ἡ μὲν ΘΑ ἔσαι κε̄ νη′, ἡ δὲ ΕΘ ὁμοίως λ̄ καὶ ἑξηκοστῶν β̄· τῶν δ' αὐτῶν ἐδέδεικτο καὶ ἡ ΕΒ ὅλη ρξς̄ κϑ′. Καὶ λοιπὴ ἄρα ἡ ΘΒ τοιούτων ἐστὶ ρλς̄ κζ′, οἵων ἡ ΒΑ ἦν κε̄ νη′. Καὶ ἔστι τὸ μὲν ἀπὸ τῆς ΘΒ τετράγωνον ͵ηχιη̄ λς′, τὸ δ' ἀπὸ τῆς ΘΑ ὁμοίως χοδ̄ ις′, ἃ συντεθέντα ποιεῖ τὸ ἀπὸ τῆς ΑΒ τετράγωνον ͵βσπϛ̄ ιϛ′. Μήκει ἄρα ἡ ΑΒ τοιούτων ρλη̄ νγ′, οἵων ἡ μὲν ΕΔ ἦν ρκ̄, ἡ δὲ ΑΕ εὐθεῖα λθ̄ μβ′. Ἔστι δὲ καὶ οἵων ἡ τοῦ ἐκκέντρου διάμετρος ρκ̄, τοιούτων ἡ ΑΒ εὐθεῖα οη̄ λα′· ὑποτείνει

περιφέρεια συνάγεται μοιρῶν ροζ̄ ιβ′, contient 177d 12′, l'angle AEG sera de 177d 12′ dont 360d font deux angles droits. Mais l'angle ADE étoit de 36d 52′ des mêmes degrés; donc le troisième angle DAE en vaut 145d 56′. Ainsi l'arc soutendu par la droite EZ est de 145d 56′ des degrés dont le cercle décrit autour du rectangle DEZ en contient 360, et la droite EZ est de 114p 44′ des parties dont l'hypoténuse AE en contient 120. Donc des parties dont EZ a été démontrée en avoir 37p 57′, et dont ED en contient 120, AE en aura 39p 42′.

En outre, puisque l'arc AB de l'excentrique est de 81d 44′, l'angle AEB vaudra 81d 44′ des degrés dont 360 font deux angles droits. De sorte que l'angle sur AT est de 81d 44′ des degrés dont le cercle décrit autour du triangle rectangle AET en contient 360, et l'arc soutendu par ET contient les 98d 16′ restants du demi-cercle. Donc, de leurs soutendantes, AT aura 78p 31′ des parties dont l'hypoténuse AE en contient 120, et ET en aura 90d 45′. Ainsi AE ayant été démontrée avoir 39p 42′, et DE étant supposée en avoir 120, AT en aura 25p 58′, et ET en aura 30p 2′. Mais on a prouvé que EB entière en avoit 166p 29′. Donc la portion restante TB a 136p 27′ des parties dont TA en avoit 25p 58′. Or le carré fait sur TB est de 18618p 36′, celui de TA est de 674p 16′, et leur somme 19292p 52′ est égale au carré de AB. Donc la longueur de AB est de 138p 53′ des parties dont ED en contient 120, et la droite AE 39d 42′. Mais la droite AB est de 78p 31′ des parties dont le diamètre de l'excentrique en contient 120; car elle soutend l'arc de

81ᵈ 44′. Donc AB étant de 78ᵖ 31′, et le diamètre de l'excentrique de 120, ED en aura 67ᵖ 50′, et AE 22ᵖ 44′ (*c*). Ainsi l'arc de l'excentrique que cette droite soutend, est de 21ᵈ 41′ (*d*), et l'arc entier EABG est de 198ᵈ 53′. Donc l'arc restant GE est de 161ᵈ 7′, et la droite GDE qui le soutend, a 118ᵖ 22′ des parties dont le diamètre de l'excentrique en a 120.

Maintenant, si la droite GE étoit trouvée égale au diamètre de l'excentrique, il est évident que le centre de ce cercle seroit dans cette ligne, et qu'alors paroîtroit la proportion de l'excentricité. Mais comme elle ne lui est pas égale, et qu'elle fait le segment EABG plus grand qu'un demi-cercle, il est clair que le centre de l'excentrique se trouvera dans ce segment. Supposons-le au point K, et menons par ce point et par D le diamètre LKDM. Du point K abaissons la perpendiculaire KNX sur GE. Puisqu'on a démontré que la droite EG a 118ᵖ 22′ des parties dont le diamètre LM en a 120, et que la droite DE en avoit 67ᵖ 50′, il s'ensuit que la droite GD en aura 50ᵖ 32′. Ainsi, puisque le rectangle formé de ED par DG est égal à celui que fait LD par DM, nous aurons le rectangle de LD par DM, de 3427ᵖ 51′ de ces mêmes parties. Mais la somme du rectangle de LD par DM et du carré de DK, est égale au carré de la moitié de cette droite entière,



γὰρ περιφέρειαν μοιρῶν πᾱ μδ′. Καὶ οἵων ἄρα ἐστὶν ἡ μὲν ΑΒ εὐθεῖα οη̄ λα′, ἡ δὲ ἐκ τοῦ κέντρου διάμετρος ρκ̄, τοιούτων καὶ ἡ μὲν ΕΔ ἔσαι ξζ̄ ν′, ἡ δὲ ΑΕ τῶν αὐτῶν κβ̄ μδ′. Ωστε καὶ ἡ μὲν ἐπ' αὐτῆς περιφέρεια τοῦ ἐκκέντρου μοιρῶν ἐστιν κᾱ μα′, ὅλη δὲ ἡ ΕΑΒΓ μοιρῶν ρζη̄ νγ′. Καὶ λοιπὴ ἄρα ἡ μὲν ΓΕ περιφέρεια μοιρῶν ἐστιν ρξᾱ ζ′, ἡ δ' ὑπ' αὐτὴν εὐθεῖα ἡ ΓΔΕ τοιούτων ριη̄ κβ′, οἵων ἐστὶν ἡ τοῦ ἐκκέντρου διάμετρος ρκ̄.

Εἰ μὲν οὖν ἡ ΓΕ εὐθεῖα ἴση ἦν εὑρημένη τῇ διαμέτρῳ τοῦ ἐκκέντρου, δῆλον ὅτι καὶ ἐπ' αὐτῆς ἂν ἐτύγχανε τὸ κέντρον αὐτοῦ, καὶ αὐτόθεν ἂν ἐφαίνετο τῆς ἐκκεντρότητος ὁ λόγος. Ἐπεὶ δὲ οὐ γέγονεν ἴση, μεῖζον δὲ καὶ τὸ ΕΑΒΓ τμῆμα πεποίηκεν ἡμικυκλίου, φανερὸν ὅτι πρὸς τούτῳ τὸ κέντρον πεσεῖται τοῦ ἐκκέντρου. Ὑποκείσθω δὴ τὸ Κ, καὶ διήχθω διὰ τούτου καὶ τοῦ Δ, ἡ δι' ἀμφοτέρων τῶν κέντρων διάμετρος ἡ ΛΚΔΜ, καὶ ἀπὸ τοῦ Κ ἐπὶ τὴν ΓΕ κάθετος ἤχθω ἡ ΚΝΞ. Ἐπεὶ τοίνυν ἡ ΕΓ εὐθεῖα ἐδείχθη τοιούτων ριη̄ κβ′, οἵων ἐστὶν ἡ ΛΜ διάμετρος ρκ̄, τῶν δ' αὐτῶν ἦν καὶ ἡ ΔΕ εὐθεῖα ξζ̄ ν′, καὶ λοιπὴ ἄρα ἡ ΓΔ ἔσαι τῶν αὐτῶν τ̄ λβ′. Ωστε ἐπεὶ τὸ ὑπὸ τῶν ΕΔ ΔΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΛΔ ΔΜ περιεχομένῳ, τοιούτων ἓξομεν τὸ ὑπὸ τῶν ΛΔ ΔΜ περιεχόμενον ὀρθογώνιον γυκζ̄ να′. Αλλὰ καὶ τὸ ὑπὸ τῶν ΛΔ ΔΜ, μετὰ τοῦ ἀπὸ τῆς ΔΚ τετραγώνου, ποιεῖ τὸ ἀπὸ τῆς

ἡμισείας τῆς ὅλης, τουτέστι τῆς ΛΚ τετράγωνον. Εἰ ἄρα ἀπὸ τοῦ ἀπὸ τῆς ἡμισείας τετετραγώνου τῶν γινομένων ,χ ἀφέλωμεν τὸ ὑπὸ τῶν ΛΔ ΔΜ, τὰ γενόμενα ,υκζ να', καταλειφθήσεται ἡμῖν τὸ ἀπὸ τῆς ΔΚ τετράγωνον τῶν αὐτῶν ροβ θ'. Καὶ μήκει ἄρα ἔξομεν τὴν ΔΚ μεταξὺ τῶν κέντρων οὖσαν τοιούτων ιγ ζ' ἔγγιστα, οἵων ἐστὶν ἡ ΚΛ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου ξ.

Πάλιν ἐπεὶ ἡ μὲν ἡμίσεια τῆς ΓΕ, τουτέστιν ἡ ΓΝ, τοιούτων ἐστὶ νθ ια', οἵων ἡ ΛΜ διάμετρος ρκ, τῶν δ' αὐτῶν ἐδείχθη καὶ ἡ ΓΔ εὐθεῖα ν λβ', καὶ λοιπὴ ἄρα ἡ ΔΝ τοιούτων ἐστὶν η λθ', οἵων ἡ ΔΚ εὑρέθη ιγ ζ'. Ὥστε καὶ οἵων ἐστὶν ἡ ΔΚ ὑποτείνουσα ρκ, τοιούτων καὶ ἡ μὲν ΔΝ ἔσαι οθ η', ἡ δ' ἐπ' αὐτῆς περιφέρεια πβ λ', οἵων ὁ περὶ τὸ ΔΚΝ ὀρθογώνιον κύκλος τξ. Καὶ ἡ ὑπὸ ΔΚΝ ἄρα γωνία οἵων μέν εἰσιν αἱ δύο ὀρθαὶ τξ, τοιούτων ἐστὶ πβ λ', οἵων δ' αἱ τέσσαρες ὀρθαὶ τξ, τοιούτων μα ιε'. Καὶ ἐπεὶ πρὸς τῷ κέντρῳ ἐστὶ τῷ ἐκκέντρῳ, ἔξομεν καὶ τὴν ΜΞ περιφέρειαν μοιρῶν μα ιε'. Ἐστι δὲ καὶ ἡ ΓΜΞ ὅλη, ἡμίσεια οὖσα τῆς ΓΞΕ, π λδ'. Καὶ λοιπὴ ἄρα ἡ ΓΜ, ἡ ἀπὸ τῆς τρίτης τῶν αὐτῶν ἀκρονύκτου, ἐπὶ τὸ περίγειον, μοιρῶν ἐστι λθ ιθ'. Φανερὸν δὲ ὅτι καὶ τῆς μὲν ΒΓ ὑποκειμένης ζε κη' μοιρῶν, καὶ λοιπὴ ἡ ΑΒ ἡ ἀπὸ τοῦ ἀπογείου ἐπὶ τὴν δευτέραν ἀκρόνυκτον, μοιρῶν ἔσαι με ιγ'. Τῆς δὲ ΑΒ ὑποκειμένης μοιρῶν πα μδ', καὶ λοιπὴ ἡ ΑΛ, ἡ ἀπὸ τῆς πρώτης ἀκρονύκτου ἐπὶ τὸ ἀπόγειον, μοιρῶν ἔσται λς λα'.

Τούτων τοίνυν ὑποκειμένων, σκεψώμεθα τὰς συναγομένας ἀπ' αὐτῶν διαφορὰς τῶν ἐπιζητουμένων καθ' ἑκάστην ἀκρόνυκτον τοῦ ζωδιακοῦ περιφερειῶν τὸν

c'est-à-dire de LK. Donc si des 3600^{p} qui sont le carré de cette moitié, nous retranchons les 3427^{p} 51$'$ provenants de LD multipliée par DM, restera le carré 172^{p} 9$'$ de DK. Nous aurons donc la longueur de DK, qui est la ligne entre les centres, de 13^{p} 7$'$ à peu près, des parties dont KL menée du centre de l'excentrique, en contient 60.

De plus, puisque la moitié de la droite GE, c'est-à-dire GN, est de 59^{p} 11$'$ des parties dont le diamètre LM en contient 120, et que la droite GD a été démontrée de 50^{p} 32$'$, la restante DN est de 8^{p} 32$'$ des parties dont la droite DK a été trouvée en avoir 13^{d} 7$'$. Donc l'hypoténuse DK étant de 120^{d}, la droite DN en aura 79^{p} 8$'$, et l'arc soutendu par cette droite aura 82^{d} 30$'$ des degrés dont le cercle décrit autour du triangle rectangle DKN en contient 360. Par conséquent l'angle DKN est de 82^{d} 30$'$ des degrés dont 360 font deux angles droits, et de 41^{d} 15$'$ de ceux dont 360 font quatre angles droits. Et puisqu'il est au centre de l'excentrique, nous aurons l'arc MX de de 41^{d} 15$'$. Mais l'arc entier GMX qui est la moitié de l'arc GXE, est de 80^{d} 34$'$. Donc l'arc restant GM depuis la 3e opposition jusqu'au périgée (*e*), est de 39^{d} 19$'$ de ces mêmes degrés. Or il est évident que l'arc BG étant supposé de 95^{d} 28$'$, l'arc restant LB depuis l'apogée jusqu'à la 2e opposition, sera de 45^{d} 13$'$; et l'arc AB étant supposé de 81^{d} 44$'$, l'autre arc AL depuis la 1ere opposition jusqu'à l'apogée, sera de 36^{d} 31$'$.

Ceci supposé, cherchons les différences (*les petits arcs*) qui en résulteront sur chacun des trois lieux observés dans les oppositions. Prenons dans la figure qui

représente ces trois oppositions, la seule description de la première ; et ayant joint AD, abaissons des points D et N sur AT prolongée, les perpendiculaires DF, NY ; puisque l'arc XE est de 36d 31′, l'angle ETX sera de 36d 31′ des degrés dont 360 font quatre angles droits, et ETX ainsi que l'angle opposé au sommet DTF sera de 73p 2′ dont 360 font deux angles droits. De sorte que l'arc soutendu par DF est de 73d 2′ des degrés dont le cercle décrit autour du rectangle DTF en contient 360, et l'arc soutendu par TF vaut les 106d 58′ restants du demi-cercle. Donc de ces soutendantes, DF est de 71p 25′ des parties dont l'hypoténuse DT en contient 120, et TF en a 96p 27′. Ainsi la droite DT étant de 6p 33′ $\frac{1}{2}$, et la droite DA menée du centre de l'excentrique étant de 60p, la droite DF en aura 3p 54′, et la droite TE 5p 16′. Et puisque la différence des carrés de DZ et de DA donne celui de FA, cette droite sera de 59p 52′ en longueur, et la droite entière YA, parceque YF = FT, aura 65p 8′ des parties dont la droite NY double de DF en contient 7p 48′. C'est pourquoi l'hypoténuse NA sera de 65p 36′ de ces parties. Donc si la droite NA est de 120p, la droite NY en aura 14p 16′, et l'arc soutendu par cette droite sera de 13d 40′ des degrés dont le cercle décrit autour du rectangle ANY en contient 360. Ainsi l'angle NAY est de 13d 40′



τρόπον τοῦτον. Ἐκκείσθω γὰρ ἐκ τῶν τριῶν ἀκρονύκτων προκειμένου σχήματος ἡ τῆς πρώτης ἀκρονύκτου μόνης καταγραφή, καὶ προσεπιζευχθείσης τῆς ΑΔ, κάθετοι ἤχθωσαν ἀπὸ τῶν Δ καὶ Ν σημείων, ἐπὶ τὴν ΑΘ ἐκβληθεῖσαν, αἱ ΔΦ καὶ ΥΝ. Ἐπεὶ τοίνυν ἡ ΖΕ περιφέρεια μοιρῶν ἐστι λϛ̄ λα′, εἴη ἂν καὶ ἡ ὑπὸ ΕΘΞ γωνία, οἵων μέν εἰσιν αἱ τέσσαρες ὀρθαὶ τξ̄, τοιούτων λϛ̄ λα′, οἵων δ' αἱ δύο ὀρθαὶ τξ̄, τοιούτων αὐτή τε καὶ ἡ κατὰ κορυφὴν αὐτῆς ἡ ὑπὸ ΔΘΦ ογ̄ β′. Ὥστε καὶ ἡ μὲν ἐπὶ τῆς ΔΦ περιφέρεια τοιούτων ἐστὶν ογ̄ β′, οἵων ὁ περὶ τὸ ΔΘΦ ὀρθογώνιον κύκλος τξ̄, ἡ δ' ἐπὶ τῆς ΘΦ τῶν λοιπῶν εἰς τὸ ἡμικύκλιον ρϛ̄ νη′. Καὶ τῶν ὑπ' αὐτὰς ἄρα εὐθειῶν ἡ μὲν ΔΦ τοιούτων ἐστὶν οᾱ̄ κε′, οἵων ἡ ΔΘ ὑποτείνουσα ρκ̄, ἡ δὲ ΦΘ τῶν αὐτῶν ιϛ̄ κζ̄. Ὥστε καὶ οἵων ἐστὶν ἡ μὲν ΔΘ εὐθεῖα ϛ̄ λγ′ ς″, ἡ δὲ ΔΑ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου ξ̄, τοιούτων καὶ ἡμὲν ΔΦ ἔσται γ̄ νδ′, ἡ δὲ ΦΘ ὁμοίως ε̄ ις′. Καὶ ἐπεὶ τὸ ἀπὸ τῆς ΔΦ λειφθὲν ὑπὸ τοῦ ἀπὸ τῆς ΔΑ, ποιεῖ τὸ ἀπὸ τῆς ΑΦ, ἔσαι καὶ ἡ μὲν ΑΦ μήκει νθ̄ ιβ′, ὅλη δὲ ἡ ΥΑ, ἐπεὶ ἴση ἐστὶν ἡ ΥΦ τῇ ΘΦ, τοιούτων ξε̄ η′, οἵων καὶ ἡ ΝΥ διπλῆ οὖσα τῆς ΔΦ συνάγεται ζ̄ μη′. Διὰ τοῦτο δὲ καὶ ἡ ΝΑ ὑποτείνουσα τῶν αὐτῶν ἔσαι ξε̄ λς′. Καὶ οἵων ἐστὶν ἄρα ἡ ΝΑ εὐθεῖα ρκ̄, τοιούτων καὶ ἡμὲν ΝΥ ἔσαι ιδ̄ ις′, ἡ δὲ ἐπ' αὐτῆς περιφέρεια τοιούτων ιγ̄ μ′, οἵων ὁ περὶ τὸ ΑΝΥ ὀρθογώνιον κύκλος τξ̄. Ὥστε καὶ ἡ ὑπὸ ΝΑΥ γωνία τοιούτων ἐστὶ ιγ̄ μ′,

οἵων αἱ δύο ὀρθαὶ τ$\bar{\xi}$. Πάλιν ἐπεὶ οἵων ἐστὶν ἡ ΘE ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου $\bar{\xi}$, τοιούτων καὶ ἡ μὲν NT ἐδείχθη $\bar{\zeta}$ μη′, ἡ δὲ ΥΘ ὁμοίως $\bar{\imath}$ λβ′, καὶ ὅλη μὲν ἔσται ἡ ΤΘE τῶν αὐτῶν $\bar{o}$ λβ′, διὰ τοῦτο δὲ καὶ ἡ NE ὑποτείνουσα οα̅ ἐγγισα. Καὶ οἵων ἐστὶν ἄρα ἡ NE εὐθεῖα ρ$\bar{\kappa}$, τοιούτων καὶ ἡ μὲν ΥN εὐθεῖα ἔσαι ι$\bar{\gamma}$ ί, ἡ δ' ἐπ' αὐτῆς περιφέρεια τοιούτων ι$\bar{\beta}$ λ$\bar{\varsigma}$, οἵων ὁ περὶ τὸ ENX ὀρθογώνιον κύκλος τ$\bar{\xi}$. Ωστε καὶ ἡ ὑπὸ NEX τοιούτων ἐστὶ ι$\bar{\beta}$ λ$\bar{\varsigma}$, οἵων αἱ δύο ὀρθαὶ τ$\bar{\xi}$· τῶν δ' αὐτῶν ἦν καὶ ἡ ὑπὸ NAΥ γωνία ι$\bar{\gamma}$ μ′. Καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ANE γωνία οἵων μέν εἰσιν αἱ δύο ὀρθαὶ τ$\bar{\xi}$, τοιούτων ἐστὶν $\bar{\alpha}$ δ′, οἵων δὲ αἱ τέσσαρες ὀρθαὶ τ$\bar{\xi}$, τοιούτων $\bar{o}$ λβ′. Τοσούτων ἄρα ἐστὶ καὶ ἡ ΚΣ τοῦ ζωδιακοῦ περιφέρεια.

des degrés dont 360 font deux angles droits. En outre, de ce que la droite TE menée du centre de l'excentrique est de 6o^d, et que la droite YN a été démontrée en avoir 7^d 48′, et YT 10^d 32′, il suit que la droite entière YTE contient 70^d 32′ de ces mêmes parties, et l'hypoténuse NE, 71^d à très-peu près. Si donc la droite NE est de 120^d, la droite YN en aura 13^d 10′, et l'angle qu'elle soutend, sera de 12^d 36′ des degrés dont le cercle décrit autour du rectangle ENY en contient 360. Ainsi l'angle NEY est de 12^d 36′ des degrés dont 360 font deux angles droits, et dont l'angle NAY en avoit 13^d 40′. Donc l'angle ANE est de 1^d 4′ des degrés dont 360 font deux angles droits, et de o^d 32′ de ceux dont 360 font quatre angles droits. C'est donc la valeur de l'arc KS du zodiaque.

Ἐκκείσθω δὴ τὸ ὅμοιον σχῆμα περιέχον τὴν τῆς δευτέρας ἀκρονύκτου καταγραφήν. Ἐπεὶ τοίνυν ἡ ΞZ μοῖρῶν ὑπόκειται με̅ ιγ′, εἴη ἂν καὶ ἡ ὑπὸ ΞΘZ γωνία, οἵων μέν εἰσιν αἱ τέσσαρες ὀρθαὶ τ$\bar{\xi}$, τοιούτων με̅ ιγ′, οἵων δ' αἱ δύο ὀρθαὶ τ$\bar{\xi}$, τοιούτων αὐτή τε καὶ ἡ κατὰ κορυφὴν ἡ ὑπὸ ΔΘΦ γωνία $\bar{\zeta}$ κς′. Ωστε καὶ ἡ μὲν ἐπὶ τῆς ΔΦ περιφέρεια τοιούτων ἐστὶν $\bar{\zeta}$ κς′, οἵων ὁ περὶ τὸ ΔΘΦ ὀρθογώνιον κύκλος τ$\bar{\xi}$, ἡ δ' ἐπὶ τῆς ΦΘ τῶν λοιπῶν εἰς τὸ ἡμικύκλιον π$\bar{\theta}$ λδ′. Καὶ τῶν ὑπ' αὐτὰς ἄρα εὐθειῶν ἡ μὲν ΔΦ τοιούτων π$\bar{\varepsilon}$ ι′, οἵων ἡ ΔΘ ὑποτείνουσα ρ$\bar{\kappa}$, ἡ δὲ ΦΘ τῶν αὐτῶν π$\bar{\delta}$ λβ′. Ωστε καὶ οἵων ἐστὶν ἡ μὲν ΔΘ εὐθεῖα $\bar{\sigma}$ λγ′ ς′′, ἡ δὲ ΔB ἐκ τοῦ κέντρου τοῦ



Supposons maintenant une figure semblable représentant la seconde opposition. Puisque dans ce cas, ZX est supposé de 45^d 13′, l'angle XTZ sera de 45^d 13′ des degrés dont 360 font quatre angles droits, et il sera, ainsi que son opposé au sommet DTF, de 90^d 26′ de ceux dont 360 font deux angles droits. Donc l'arc soutendu par la droite DF est de 90^d 26′ des degrés dont le cercle décrit autour du rectangle DTF en contient 360, et l'arc soutendu par la droite FT vaut le reste du demi-cercle 89^d 34′. Donc des soutendantes de ces arcs, DF a 85^p 10′ des parties dont l'hypoténuse DT en contient 120, et TF en a 84^p 32′. De sorte que si la droite DT est de 6^p 33′ $\frac{1}{2}$, et la droite DB menée

du centre de l'excentrique, de 60^{p}, DF en aura 4^{p} 39′, et FT 1^{p} 38′. Et puisque la différence entre les carrés de DF et de DB donne celui de BF, la longueur de BF sera de 59^{p} 49′; et la droite entière YB, à cause de FY égale à FT, sera de 64^{p} 27′ des parties dont NY double de DF en contient 9^{p} 18′. C'est pourquoi l'hypoténuse NB aura 65^{p} 6′. Si donc NB est de 120^{p}, NY en aura 17^{p} 9′, et l'arc soutendu par cette droite aura 16^{d} 26′ des degrés dont le cercle décrit autour du rectangle BNY en contient 360. Ainsi l'angle NBY est de 16 26′ des degrés dont 360 font deux angles droits.



De plus, puisque la droite ZT menée du centre de l'excentrique est de 60^{p}, et que NY a été démontrée en avoir 9^{d} 18′, et YT 9^{p} 16′, la droite entière YTZ en aura 69^{p} 16′, et par conséquent l'hypoténuse NZ 69^{p} 52′. Si donc cette hypoténuse NZ est de 120, la droite NY en aura 16^{d} à peu près, et l'arc soutendu par cette droite sera de 15^{d} 20′ des degrés dont le cercle décrit autour du rectangle ZNY en contient 360. C'est pourquoi l'angle NZY est de 15^{d} 20′ des degrés dont 360 font deux angles droits; mais l'angle NBY en avoit 16^{d} 26′; donc l'autre angle BNY est de 1^{d} 6′ de ces mêmes degrés, et de 0^{d} 33′ de ceux dont 360 font quatre angles droits. Et c'est par conséquent la valeur de l'arc LC du zodiaque. Ainsi donc, puisque pour la première opposition nous avons trouvé KS de 0^{d} 32′, il est évident que la première distance considérée par rapport à

ἐκκέντρου ξ̄, τοιούτων καὶ ἡ μὲν ΔΦ ἔσαι δ̄ λθ′, ἡ δὲ ΦΘ ὁμοίως ᾱ λη′. Καὶ ἐπεὶ τὸ ἀπὸ τῆς ΔΦ λειφθὲν ὑπὸ τοῦ ἀπὸ τῆς ΔΒ, ποιεῖ τὸ ἀπὸ τῆς ΒΦ τετράγωνον, ἔσαι καὶ ἡ μὲν ΦΒ μήκει νθ̄ μθ′, ἡ δὲ ΝΒ ὅλη, διὰ τὸ ἴσην εἶναι τὴν ΦΥ τῇ ΦΘ, τοιούτων ξδ̄ κζ′, οἵων καὶ ἡ ΝΥ διπλῆ οὖσα τῆς ΔΦ συνάγεται θ̄ ιη′. Διὰ τοῦτο δὲ καὶ ἡ ΝΒ ὑποτείνουσα, τῶν αὐτῶν ἔσαι ξθ̄ ε′. Καὶ οἵων ἐστὶν ἄρα ρκ̄ ἡ ΝΒ, τοιούτων καὶ ἡ μὲν ΥΝ ἔσαι ιζ̄ θ′, ἡ δὲ ἐπ' αὐτῆς περιφέρεια τοιούτων ις̄ κς′, οἵων ὁ περὶ τὸ ΒΝΥ ὀρθογώνιον κύκλος τξ̄. Ωστε καὶ ἡ ὑπὸ ΝΒΥ γωνία, τοιούτων ἐστὶ ις̄ κς′, οἵων αἱ δύο ὀρθαὶ τξ̄.

Πάλιν ἐπεὶ οἵων ἐστὶν ἡ ΖΘ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου ξ̄, τοιούτων καὶ ἡ μὲν ΝΧ ἐδείχθη θ̄ ιη′, ἡ δὲ ΥΘ ὁμοίως θ̄ ις′, καὶ ὅλη μὲν ἔσαι ἡ ΧΘΖ τῶν αὐτῶν ξθ̄ ις′, διὰ τοῦτο δὲ καὶ ἡ ΝΖ ὑποτείνουσα ξθ̄ νβ′. Καὶ οἵων ἄρα ἐστὶν ἡ ΝΖ ὑποτείνουσα ρκ̄, τοιούτων καὶ ἡ μὲν ΝΥ ἔσαι ις̄ ἐγγισα, ἡ δὲ ἐπ' αὐτῆς περιφέρεια τοιούτων ιε̄ κ′, οἵων ὁ περὶ τὸ ΖΝΧ ὀρθογώνιον κύκλος τξ̄. Ωστε καὶ ἡ μὲν ὑπὸ ΝΖΥ γωνία τοιούτων ἐστὶ ιε̄ κ′, οἵων αἱ δύο ὀρθαὶ τξ̄· τῶν δ' αὐτῶν ἦν καὶ ἡ ὑπὸ ΝΒΥ γωνία ις̄ κς′· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΒΝΖ γωνία τῶν μὲν αὐτῶν ᾱ ς′, οἵων δὲ αἱ τέσσαρες ὀρθαὶ τξ̄, τοιούτων ὁ̄ λγ′. Τοσούτων ἐστὶν ἄρα καὶ ἡ ΛΚ τοῦ ζῳδιακοῦ περιφέρεια. Επεὶ οὖν καὶ ἐπὶ τῆς πρώτης ἀκρονύκτου τὴν ΚΣ εὑρήκειμεν ὁ̄ λβ′, δῆλον ὅτι τοῖς ἀμφοτέρων τῶν περιφερειῶν

τμήμασιν $\bar{\alpha}$ ε′ μείζων ἔσαι ἡ πρὸς τὸν ἔκκεντρον θεωρουμένη πρώτη διάσασις τῆς φαινομένης, καὶ περιέξει μοίρας ξη̄ νε′.

Ἐκκείσθω δὲ καὶ ἡ τῆς τρίτης ἀκρονύκτου καταγραφή. Ἐπεὶ τοίνυν καὶ ἡ ΠΗ περιφέρεια ὑπόκειται μοιρῶν λθ̄ ιθ′, εἴη ἂν καὶ ἡ ὑπὸ ΠΘΗ γωνία, οἵων μέν εἰσιν αἱ τέσσαρες ὀρθαὶ τ$\bar{\xi}$, τοιούτων λθ̄ ιθ′, οἵων δ′ αἱ δύο ὀρθαὶ τ$\bar{\xi}$ τοιούτων οη̄ λη′. Ὥστε καὶ ἡ μὲν ἐπὶ τῆς ΔΦ περιφέρεια τοιούτων ἐστὶν οη̄ λη′, οἵων ὁ περὶ τὸ ΔΘΦ ὀρθογώνιον κύκλος τ$\bar{\xi}$, ἡ δὲ ἐπὶ τῆς ΘΦ τῶν λοιπῶν εἰς τὸ ἡμικύκλιον ρ$\bar{\alpha}$ κβ′. Καὶ τῶν ὑπ′ αὐτὰς ἄρα εὐθειῶν, ἡ μὲν ΔΦ, τοιούτων ἐστὶν ος̄ β′, οἵων ἡ ΔΘ ὑποτείνουσα ρ$\bar{\kappa}$, ἡ δὲ ΦΘ τῶν αὐτῶν ζ$\bar{\beta}$ ν′. Ὥστε καὶ οἵων ἐστὶν ἡ μὲν ΔΘ μεταξὺ τῶν κέντρων ς̄ λγ′ ς″, ἡ δὲ ΔΓ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου ξ̄, τοιούτων καὶ ἡ μὲν ΔΦ ἔσαι δ̄ θ′, ἡ δὲ ΦΘ ὁμοίως ε̄ δ′. Καὶ ἐπεὶ τὸ ἀπὸ τῆς ΔΦ λειφθὲν ὑπὸ τοῦ ἀπὸ τῆς ΓΔ, ποιεῖ τὸ ἀπὸ τῆς ΓΦ, ἔσαι καὶ ἡ μὲν ΓΦ εὐθεῖα νθ̄ να′, λοιπὴ δὲ ἡ ΓΧ, διὰ τὸ ἴσην εἶναι τὴν ΘΦ τῇ ΦΧ, τοιούτων νδ̄ μζ′, οἵων καὶ ἡ ΝΧ διπλῆ οὖσα τῆς ΔΦ συνάγεται π̄ ιη′. Διὰ τοῦτο δὲ καὶ ἡ ΝΓ ὑποτείνουσα γίνεται τῶν αὐτῶν νε̄ κε′. Καὶ οἵων ἐστὶν ἄρα ρ$\bar{\kappa}$ ἡ ΝΓ, τοιούτων καὶ ἡ μὲν ΝΧ ἔσαι ιζ̄ νθ′, ἡ δ′ ἐπ′ αὐτῆς περιφέρεια τοιούτων ιζ̄ ιδ′, οἵων ἐστὶν ὁ περὶ τὸ ΓΝΧ ὀρθογώνιον κύκλος τ$\bar{\xi}$. Ὥστε καὶ ἡ ὑπὸ ΝΓΧ γωνία τοιούτων ἐστὶ ιζ̄ ιδ′, οἵων αἱ δύο ὀρθαὶ τ$\bar{\xi}$. Πάλιν ἐπεὶ οἵων ἐστὶν ἡ ΘΗ ἐκ τοῦ κέντρου τοῦ



l'excentrique, sera plus grande des 1d 5′ des deux arcs, que la distance apparente, et embrassera 68d 55′.

Venons enfin à la représentation figurée de la troisième opposition. Puisqu'ici l'arc PH a été supposé de 39d 19′, l'angle PTH sera de 39d 19′ des degrés dont 360 font quatre angles droits, et de 78d 38′ de ceux dont 360 font deux angles droits. Ainsi, l'arc soutendu par DF est de 78d 38′ des degrés dont le cercle circonscrit au triangle rectangle DTF en contient 360, et l'arc soutendu par TF a les 101d 22′ restants du demi-cercle. Donc de ces soutendantes, DF est de 76p 2′ des parties dont l'hypoténuse DT en contient 120, et PF en a 92p 50′. Ainsi la droite DT entre les centres étant de 6p 33′ $\frac{1}{2}$, et la droite DG menée du centre de l'excentrique étant de 60p, la droite DF en aura 4p 9′, et la droite FT, 5p 4′. Et puisque la différence des carrés de DF et de GD donne celui de GF, la droite GF sera de 59p 51′; et la portion GX, à cause de TF égale à FX, sera de 54p 47′, dont NX, double de DF, en a 8p 18′. C'est pourquoi l'hypoténuse NG est de 55d 25′ de ces mêmes parties. Donc la droite NG étant de 120p, NX en aura 17p 59′, et l'arc soutendu par cette dernière, vaut 17d 14′ des degrés dont le cercle décrit autour du rectangle GNX en contient 360. Ainsi l'angle NGX est de 17d 14′ des degrés dont 360 font deux angles droits. De plus, puisqu'il a été prouvé que TH menée du

centre de l'excentrique étant de 60d, NX en a 8d 18′; et, TX 10p 8′, la portion XH en aura 49p 52′. C'est pourquoi l'hypoténuse NH en a 50p 33′. Donc si NH est de 120, NX en aura 19p 42′; et l'arc, que cette dernière soutend, aura 18d 54′ des degrés dont le cercle décrit autour du rectangle HNX en contient 360. Ainsi l'angle NHX est de 18d 54′ des degrés dont 360 font deux angles droits. Or l'angle NGX a été démontré en valoir 17d 14′, donc l'autre angle GNH est de 1d 40′ de ces degrés, et de 0d 50′ des degrés dont 360 font quatre angles droits; telle est donc la valeur de l'arc MU du zodiaque (*fig. 7*).



Or, puisque pour la seconde opposition nous avons trouvé l'arc LT de 0d 33′, il est évident que la distance considérée dans l'excentrique, sera plus petite que la seconde distance apparente, des 1′ 23′ des deux arcs, et contiendra 92d 21′. Maintenant, par le moyen de ces arcs du zodiaque ainsi recueillis des deux distances corrigées, et par ceux de l'excentrique, et en suivant d'ailleurs la méthode exposée ci-dessus pour trouver l'apogée et le rapport de l'excentricité, pour ne pas trop allonger ce traité, nous trouvons l'intervalle DK des centres, de 11p 50′ des 60 du rayon de l'excentrique, et l'arc GM de l'excentrique, c'est-à-dire de la troisième opposition jusqu'au périgée, de 45d 33′.

ἐκκέντρου ξ̄, τοιούτων καὶ ἡ μὲν NX ἐδείχθη μ̄ ιή′, ἡ δὲ ΘX ὁμοίως τ̄ ή′, καὶ λοιπὴ μὲν ἴσαι ἡ XH τῶν αὐτῶν μθ̄ νβ′· διὰ τοῦτο δὲ καὶ ἡ NH ὑποτείνουσα ν̄ λγ′. Καὶ οἵων ἐστὶν ἄρα ρκ̄ ἡ NH, τοιούτων καὶ ἡ μὲν NX ἴσαι ιθ̄ μβ′, ἡ δ' ἐπ' αὐτῆς περιφέρεια τοιούτων ιη̄ νδ′, οἵων ὁ περὶ τὸ HNX ὀρθογώνιον κύκλος τξ̄. Ωστε καὶ ἡ ὑπὸ NHX γωνία τοιούτων ἐστὶ ιη̄ νδ′, οἵων εἰσὶν αἱ δύο ὀρθαὶ τξ̄· τῶν δ' αὐτῶν ἐδείχθη καὶ ἡ ὑπὸ NΓX γωνία ιζ̄ ιδ′· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΓNH τῶν μὲν αὐτῶν ἐστιν ᾱ μ′, οἵων δ' αἱ τέσσαρες ὀρθαὶ τξ̄, τοιούτων ο̄ ν′. Τοσούτων ἄρα ἐστὶ καὶ ἡ MΥ τοῦ ζωδιακοῦ περιφέρεια.

Επεὶ οὖν καὶ ἐπὶ τῆς δευτέρας ἀκρονύκτου τὴν ΛΤ εὑρήκειμεν ο̄ λγ′, δῆλον ὅτι τοῖς συναμφοτέρων τῶν περιφερειῶν τμήμασιν ᾱ κγ′, ἐλάσσων ἔσαι ἡ πρὸς τὸν ἔκκεντρον θεωρουμένη τῆς φαινομένης δευτέρας διάστασις, καὶ περιέξει μοίρας ζβ̄ κα′. Κατὰ ταύτας τοίνυν τὰς συνημμένας τῶν δύο διαστάσεων τοῦ ζωδιακοῦ περιφερείας, καὶ τὰς φύσει πάλιν κατὰ τὸν ἔκκεντρον ὑποκειμένας, ἀκολουθήσαντες τῷ προδεδειγμένῳ τούτων θεωρήματι, δι' οὗ τό τε ἀπόγειον καὶ τὸν τῆς ἐκκεντρότητος λόγον δείκνυμεν, εὑρίσκομεν, ἵνα μὴ διὰ τῶν αὐτῶν μακροποιώμεθα, τὴν ὑπὸ τὴν μὲν μεταξὺ τῶν κέντρων τῶν ΔK, τοιούτων γινομένην ιᾱ ν′, οἵων ἐστὶν ἡ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου ξ̄, τὴν δὲ ΓM τοῦ ἐκκέντρου περιφέρειαν, τουτέστι τὴν ἀπὸ τῆς τρίτης ἀκρονύκτου ἐπὶ τὸ περίγειον,

μοιρῶν μ̄ε̄ λγ′. Αφ' ἧς πάλιν καὶ ἡ μὲν ΛΒ γίνεται μοιρῶν λη̄ ιθ′, ἡ δὲ ΑΛ ὁμοίως μβ̄ με′. Τούτοις δ' ὡσαύτως ἀκολουθήσαντες ἐπὶ τῶν καθ' ἑκάστην ἀκρόνυκτον δείξεων, εὕρομεν λοιπὸν τὰς ἀκριβεῖς πηλικότητας ἑκάστης τῶν ζητουμένων περιφερειῶν, τῆς μὲν ΚΣ ō κη′, τῆς δὲ ΛΤ τὰ ἴσα ἔγγιστα, ὡς αὐτῆς, κη′, τῆς δὲ ΜΤ ἑξηκοστὰ μ̄. Ων τὰ μὲν τῆς πρώτης καὶ τὰ τῆς δευτέρας ἀκρονύκτου συντιθέντες, καὶ τὰ γενόμενα ἑξηκοστὰ ν̄σ̄ προσθέντες ταῖς τῆς πρώτης διαστάσεως τοῦ ζωδιακοῦ μοίραις ξ̄ζ̄ ν′, τὴν πρὸς τὸν ἔκκεντρον ἀκριβῶς. Θεωρουμένην διάστασιν ἔχομεν μοιρῶν ξη̄ μς′. Τὰ δὲ τῆς δευτέρας καὶ τῆς τρίτης ἀκρονύκτου συνθέντες, καὶ τὴν γενομένην μοῖραν ᾱ η′ ἀφελάντες τῶν κατὰ τὴν δευτέραν διάστασιν φαινομένων τοῦ ζωδιακοῦ μοιρῶν ξ̄γ̄ μδ′, τὴν πρὸς τὸν ἔκκεντρον πάλιν ἀκριβῶς θεωρουμένην διάστασιν εὕρομεν μοιρῶν κβ̄ λς′. Αφ' ὧν λοιπὸν τῇ αὐτῇ δείξει χρησάμενοι, τόν τε λόγον τῆς ἐκκεντρότητος καὶ τὸ ἀπόγειον ἠκριβώσαμεν. Καὶ εὕρομεν τὴν μὲν μεταξὺ τῶν κέντρων τὴν ΔΚ τοιούτων ιβ̄ ἔγγιστα, οἵων ἐστὶν ἡ ΚΛ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου ξ̄· τὴν δὲ ΓΜ τοῦ ἐκκέντρου περιφέρειαν μοιρῶν μδ̄ κα′. Αφ' ἧς πάλιν καὶ ἡ μὲν ΛΒ γίνεται μοιρῶν μ̄ ια′, ἡ δὲ ΑΛ ὁμοίως μᾱ λγ′. Οτι δὲ ταύταις λοιπὸν ταῖς πηλικότησι καὶ αἱ τετηρημέναι τῶν τρίτων ἀκρονύκτων φαινόμεναι διαστάσεις σύμφωνοι καταλαμβάνονται, διὰ τῶν αὐτῶν ποιήσομεν δῆλον.

Εκκείσθω γὰρ ἡ τῆς πρώτης ἀκρονύκτου καταγραφὴ, μόνον ἔχουσα τὸν ΕΖ

L'arc LB de ce cercle est de 38^{d} 59′, et l'arc AL de 42^{d} 45′. En suivant les mêmes principes, dans les démonstrations pour chaque opposition acronycte, nous trouvons exactement les autres quantités de chacun des arcs cherchés, KS de 0^{d} 28′, LT de 28′ aussi à peu près, comme étant le même, et (*f*) MU de 40′. La somme de ces quantités de la première et de la seconde opposition, est 56′ que nous ajoutons aux 67^{d} 50′ du premier intervalle du zodiaque, et nous avons ainsi la distance considérée dans l'excentrique, de 68^{d} 46′. Ensuite, ajoutant ensemble les quantités de la seconde et de la troisième opposition, nous en retranchons la somme 1^{d} 8′, des 93^{d} 44′ apparents du zodiaque dans le second intervalle, et nous trouvons 92^{d} 36′, pour la distance dans l'excentrique. Ces valeurs, en employant la même démonstration, nous ont servi à trouver exactement le rapport de l'excentricité et l'apogée. Nous avons trouvé, en effet, DK entre les centres, de 12^{p} environ dont KL, rayon de l'excentrique, en contient 60^{p}, et l'arc GM de l'excentrique, de 44^{p} 21′. D'où LB devient de 40^{p} 11′, et AL de 41^{p} 33′ (*g*). Nous allons faire voir que les distances observées des trois oppositions se trouvent conformes à ces mêmes valeurs.

Supposons que la figure de la première opposition ne représente que l'excentriuqe

EZ qui porte toujours le centre de l'épicycle. Puisque l'angle ATE est de 41^{d} 33′ des degrés dont 360 font quatre angles droits, et, ainsi que son opposé au sommet DTF, de 83^{d} 6′ des degrés dont 360 font deux angles droits, l'arc soutendu par DF vaudra 83^{d} 6′ de ceux dont le cercle décrit autour du rectangle DTF en contient 360, et FT vaudra les 96^{d} 54′ restants du demi-cercle. Donc de ces soutendantes, DF est de 79^{d} 35′ des parties dont l'hypoténuse DT en contient 120, et FT est de 89^{d} 50′. Si donc la droite DT est de 6^{p}, et l'hypoténuse DA de 60^{p}, DF sera de 3^{p} 58′ $\frac{1}{2}$, et FT de 4^{p} 30′. Et puisque la différence des carrés de DF et de DA, donne celui de FA, la longueur de celle-ci sera de 59^{d} 50′. En outre, puisque FT égale FX, et que NX est double de DF, nous aurons la droite entière AX de 64^{d} 20′ des parties dont la droite NX en contient 7^{p} 57′. C'est pourquoi l'hypoténuse NA sera de 64^{p} 52′. Donc la droite NA étant de 120^{p}, NX en aura 14^{p} 44′, et l'arc qu'elle soutend sera de 14^{d} 6′ des degrés dont le cercle décrit autour du rectangle ANX en contient 360. Donc l'angle NAX est de 14^{d} 6′ des degrés dont 360 font deux angles droits, et de 7^{d} 3′ de ceux dont 360 font quatre angles droits. Mais l'angle ATE étoit de 41^{d} 33′ de ces degrés, donc l'autre angle ANE du mouvement apparent, sera de



168	192	2	58	0	19	4	18	21	0	7	6	57	53
171	189	2	14	0	15	3	32	16	26	5	49	58	49
174	186	1	30	0	10	2	27	11	19	4	26	59	43
177	183	0	45	0	5	1	16	5	45	2	20	59	52
180	180	0	0	0	0	0	0	0	0	0	0	60	0

ΑΦΡΟΔΙΤΗΣ.

Απόγειον ταύρου Μ. ιξ ι'.

ΑΡΙΘΜΟΙ ΚΟΙΝΟΙ. Α.	Β.	ΜΗΚΟΥΣ ΠΡΟΣΘΑΦΑΙΡΕΣ. Γ.		ΔΙΑΦΟΡΑ ΠΡΟΣΘΕΣΕΩΣ. Δ.		ΔΙΑΦΟΡΑ ΑΦΑΙΡΕΣΕΩΣ. Ε.		ΑΝΩΜΑΛΙΑΣ ΠΡΟΣΘΑΦΑΙΡΕΣ. ς.		ΔΙΑΦΟΡΑ. ΠΡΟΣΘΕΣΕΩΣ. Ζ.		ΕΞΗΚΟΣΤΑ ΑΦΑΙΡΕΣΕΩΣ. Η.	
ς	τνδ	ō	ιδ′	ō	α′	ō	α′	ō	λα′	ō	β′	νθ′	ι′′
ιϐ	τμη	ō	κη	ō	α	ō	γ	ε	α	ō	δ	νζ	νε
ιη	τμϐ	ō	μϐ	ō	α	ō	ε	ζ	λκ	ō	ς	νς	μ
κδ	τλς	ō	νς	ō	β	ō	ζ	ι	α	ō	κ	κε	ō
λ	τλ	α	θ	ō	β	ō	Ϛ	ιϐ	λ	ō	ι	νϐ	με
λς	τκδ	α	κα	ō	β	ō	ικ	ιδ	νη	ō	ιϐ	μθ	λε
μϐ	τιη	α	λϐ	ō	γ	ō	ιγ	ιζ	κε	ō	ιδ	με	ν
μη	τιϐ	α	μγ	ō	γ	ō	ιε	ιθ	να	ō	ις	μϐ	ε
νδ	τς	α	νγ	ō	γ	ō	ιϛ	κϐ	ιϛ	ō	ιη	λζ	ε
ζ	τ	ϐ	λ	ō	β	ō	κ	κδ	λη	ō	κ	λα	μ
ξς	σζδ	ϐ	η	ō	β	ō	κϐ	κς	λζ	ō	κγ	κς	ιε
οϐ	σπη	ϐ	ιδ	ō	β	ō	κδ	κθ	ιδ	ō	κε	κ	κε
οη	σπϑ	ϵ	ιη	ō	α	ō	κζ	λα	κζ	ō	κη	ιδ	λε
πδ	σοϛ	ϐ	κα	ō	α	ō	κθ	λγ	λη	ō	λ	η	κ
ζ	σο	ϐ	κγ	ō	α	ō	λα	λε	μδ	ō	λ	δ	μ
ζγ	σξς	ϵ	κγ	ō ἀφαίρ.	ō	ō	λγ	λς	μ	ō	λς	α πρσθ.	λα
ζς	σξδ	ϐ	κγ	ō	α	ō	λε	λζ	μγ	ō	λη	δ	μϐ
ζθ	σξα	ϐ	κϐ	ō	α	ō	λη	λη	μ	ō	μ	ζ	λθ
ρϐ	σνη	ϐ	μα	ō	α	ō	μ	λϑ	λε	ō	μγ	ι	λε
ρε	σνε	ϐ	κ	ō	α	ō	μϐ	μ	κθ	ō	με	ιγ	λϐ
ρη	σνϐ	ϐ	κη	ō	α	ō	με	μα	κ	ō	μζ	ις	κη
ριϛ	σμθ	ϐ	ις	ō	α	ō	μζ	μϐ	ϟ	ō	ν	ιϑ	κε
ριδ	σμς	ϐ	ιγ	ō	β	ō	μθ	μϐ	νδ	ō	νϐ	κϐ	κα
ριζ	σμγ	ϐ	ι	ō	β	ō	ϱ	νϐ	λε	ō	νε	κε	ιη
ρκ	σμ	ϐ	ς	ō	β	ō	ν	μδ	ιϐ	ō	νη	κη	ιδ
ρκγ	σλζ	ϐ	ϐ	ō	β	ō	νζ	μδ	με	α	α	λα	ō
ρκς	σλϑ	α	νη	ō	β	α	ō	με	ιδ	α	δ	λγ	μδ
ρκθ	σλα	α	να	ō	β	α	γ	με	λς	α	η	λς	ιη
ρλϐ	σκη	α	μθ	ō	γ	α	ς	με	να	α	ια	λη	η
ρλε	σκε	α	μδ	ō	γ	α	ι	με	κε	α	ιδ	μα	ια
ρλη	σκϐ	α	λϑ	ō	γ	α	ιδ	με	νζ	α	ιη	μγ	λϐ
ρμα	σιθ	α	λγ	ō	γ	α	ιθ	με	με	α	κϐ	με	μϐ
ρμδ	σις	α	κζ	ō	β	α	κδ	με	κ	α	κζ	μζ	να
ρμζ	σιγ	α	κα	ō	β	α	κθ	μδ	μ	α	λη	μθ	λζ
ρν	σι	α	ιδ	ō	β	α	λγ	μγ	λϑ	α	λη	να	κγ
ρνγ	σζ	α	ζ	ō	β	α	λζ	μϐ	ιη	α	μγ	νϐ	μς
ρνς	σδ	α	ō	ō	β	α	λϑ	μ	κη	α	νη	κδ	η
ρνϑ	σα	ō	νγ	ō	β	α	μα	λη	ζ	α	να	νε	ιη
ρξϐ	ρζη	ō	μς	ō	α	α	μϐ	λε	ζ	α	νϐ	νς	κς
ρξε	ρζε	ō	λϑ	ō	α	α	λη	λα	κδ	α	ν	νζ	κη
ρξη	ρζγ	ō	λϐ	ō	α	α	λα	κς	μς	α	μγ	νη	κς
ροα	ρπϑ	ō	κδ	ō	α	α	ιϑ	κκ	ιε	α	κζ	νϑ	α
ροδ	ρπς	ō	ις	ō	α	ō	νη	ιδ	μκ	α	ε	νϑ	λς
ροζ	ρπγ	ō	η	ō	α	ō	λα	ζ	λη	ō	λε	νϑ	μη
ρπ	ρπ	ō	ō	ō	ō	ō	ō	ō	ō	ō	ō	ξ	ō

VÉNUS.

Apogée en 16^{d} 10′ du taureau.

NOMBRES COMMUNS. 1.		PROSTAPHÉRÈSE de LONGITUDE. 3.		DIFFÉRENCE ADDITIVE. 4.		DIFFÉRENCE SOUSTRACTIVE. 5.		PROSTAPHÉRÈSE de L'ANOMALIE. 6.		DIFFÉRENCE ADDITIVE. 7.		SOIXANTIÈMES SOUSTRACTIVES. 8.	
6^{d}	354^{d}	0^{d}	14′	0^{d}	1′	0^{d}	1′	2^{d}	31′	0	2′	59′	10″
12	348	0	28	0	1	0	3	5	1	0	4	57	45
18	342	0	42	0	1	0	5	7	31	0	6	56	40
24	336	0	56	0	2	0	7	10	1	0	8	55	0
30	330	1	9	0	2	0	9	12	30	0	10	52	55
36	324	1	21	0	2	0	11	14	58	0	12	49	35
42	318	1	32	0	3	0	13	17	25	0	14	45	50
48	312	1	43	0	3	0	15	19	51	0	16	42	5
54	306	1	53	0	3	0	18	22	15	0	18	37	5
60	300	2	1	0	2	0	20	24	38	0	20	31	40
66	294	2	8	0	2	0	22	26	37	0	23	26	15
72	288	2	14	0	2	0	24	29	14	0	25	20	25
78	282	2	18	0	1	0	27	31	27	0	28	14	35
84	276	2	21	0	1	0	29	33	38	0	30	8	20
90	270	2	23	0	1	0	31	35	44	0	33	1	40
93	267	2	23	0 soustr.	1	0	33	36	40	0	36	1 add.	31
96	264	2	23	0	1	0	35	37	43	0	38	4	42
99	261	2	22	0	1	0	38	38	40	0	40	7	39
102	258	2	41	0	1	0	40	39	35	0	43	10	55
105	255	2	20	0	1	0	42	40	29	0	45	13	32
108	252	2	18	0	1	0	45	41	20	0	47	16	28
111	249	2	16	0	1	0	47	42	9	0	50	19	25
114	246	2	13	0	2	0	49	42	54	0	52	22	21
117	243	2	10	0	2	0	52	43	35	0	55	25	18
120	240	2	6	0	2	0	54	44	12	0	58	28	14
123	237	2	2	0	2	0	57	44	45	1	1	31	0
126	234	1	58	0	2	1	0	45	14	1	4	33	44
129	231	1	51	0	2	1	3	45	36	1	8	36	18
132	228	1	49	0	3	1	6	45	51	1	11	38	50
135	225	1	44	0	3	1	10	45	55	1	14	41	11
138	222	1	39	0	3	1	14	45	57	1	18	43	32
141	219	1	33	0	3	1	19	45	45	1	22	45	42
144	216	1	27	0	2	1	24	45	20	1	27	47	51
147	213	1	21	0	2	1	29	44	40	1	32	49	37
150	210	1	14	0	2	1	33	43	39	1	38	51	23
153	207	1	7	0	2	1	37	42	18	1	43	52	46
156	204	1	0	0	2	1	39	40	28	1	48	54	50
159	201	0	53	0	2	1	41	38	7	1	51	55	18
162	198	0	46	0	1	1	42	35	7	1	52	56	26
165	195	0	39	0	1	1	38	31	24	1	50	57	28
168	192	0	32	0	1	1	31	26	46	1	43	58	26
171	189	0	24	0	1	1	19	21	15	1	27	59	1
174	186	0	16	0	1	0	58	14	41	1	5	59	36
177	183	0	8	0	1	0	31	7	38	0	35	59	58
180	180	0	0	0	0	0	0	0	0	0	0	60	0

ΕΡΜΟΥ.

Απόγειον χηλῶν. μ. λ̄ ι'.

ΑΡΙΘΜΟΙ ΚΟΙΝΟΙ. Α.	Β.	ΜΗΚΟΥΣ ΠΡΟΣΘΑΦΑΙΡΕΣ. Γ.		ΔΙΑΦΟΡΑ ΑΦΑΙΡΕΣΕΩΣ. Δ.		ΔΙΑΦΟΡΑ ΑΦΑΙΡΕΣΕΩΣ. Ε.		ΑΝΩΜΑΛΙΑΣ ΠΡΟΣΘΑΦΑΙΡΕΣ. Ϛ.		ΔΙΑΦΟΡΑ ΠΡΟΣΘΑΦΑΙΡΕΣ. Ζ.		ΕΞΗΚΟΣΤΑ ΑΙΑΙΡΕΣΕΩΣ. Π.	
ϛ̄	τνδ̄	ō	ιη'	ō	α	ō	ι'	α̅	λη'	ō	ε'	νθ'	κ''
ιβ	τμη	ō	λδ	ō	β	ō	κ	γ	ιϛ	ō	ια	νζ	κ
ιη	τμβ	ō	να	ō	δ	ō	κθ	δ	νγ	ō	ιζ	νδ	μ
κδ	τλϛ	α	ζ	ō	ε	ō	λθ	ϛ	κθ	ō	κγ	ν	μ
λ	τλ	α	κβ	ō	ε	ō	μθ	η	δ	ō	κη	με	μ
λϛ	τκδ	α	λζ	ō	δ	ō	νθ	θ	λϛ	ō	λδ	λθ	μ
μβ	τιη	α	να	ō	δ	α	η	ια	ϛ	ō	μ	λγ	ō
μη	τιβ	β	δ	ō	γ	α	ιη	ιβ	λγ	ō	με	κε	μ
νδ	τϛ	β	ιε	ō	α	α	κη	ιγ	νη	ō	ν	ιη	ō
ξ	τ	β	κε	ō πρόσθ.	ο	α	λθ	ιε	ιη	ō	νϛ	ι	κ
ξϛ	σϟδ	β	λδ	ō	β	α	μθ	ιϛ	λγ	α	δ	β	κ
οβ	σπη	β	μα	ō	δ	α	νθ	ιζ	μγ	α	ια	θ πρόσθ.	ιδ
οη	σπβ	β	μϛ	ō	ϛ	β	θ	ιη	μζ	α	ιζ	κ	ō
πδ	σοϛ	β	ν	ō	ζ	β	ιθ	ιθ	μδ	α	κγ	κθ	μδ
ϟ	σο	β	νβ	ō	θ	β	κε	κ	λγ	α	κθ	λθ	κη
ϟδ	σξϛ	β	νβ	ō	ι	β	λδ	κ	νδ	α	λβ	μγ	λα
ϟϛ	σξδ	β	νβ	ō	ι	β	λθ	κα	ιγ	α	λε	μζ	λδ
ϟθ	σξα	β	να	ō	ια	β	μα	κα	κε	α	λη	ν	ō
ρβ	σνη	β	ν	ō	ι	β	μη	κα	με	α	μα	νβ	κϛ
ρε	σνε	β	μη	ō	ι	β	νγ	κα	νβ	α	μδ	νδ	νβ
ρη	σνβ	β	μϛ	ō	ι	β	νη	κα	νθ	α	μϛ	νζ	ιη
ρια	σμθ	β	μδ	ō	θ	γ	β	κβ	β	α	μθ	νη	κγ
ριδ	σμϛ	β	μα	ō	θ	γ	δ	κβ	α	α	νβ	νθ	κη
ριζ	σμγ	β	λζ	ō	θ	γ	ϛ	κα	νϛ	α	νε	νθ	μδ
ρκ	σμ	β	λγ	ō	η	γ	η	να	μζ	α	νζ	ξ	ō
ρκγ	σλζ	β	κη	ō	ζ	γ	θ	κα	λγ	α	νθ	νθ	μδ
ρκϛ	σλδ	β	κγ	ō	ζ	γ	ι	κα	ιγ	β	ō	νθ	κγ
ρκθ	σλα	β	ιη	ō	ϛ	γ	ιβ	κ	νγ	β	ō	νη	λθ
ρλβ	σκη	β	ιβ	ō	ϛ	γ	ιβ	κ	κε	β	α	νζ	ν
ρλε	σκε	β	ϛ	ō	ε	γ	θ	ιθ	ν	β	α	νϛ	μϛ
ρλη	σκβ	β	ō	ō	δ	γ	ϛ	ιθ	ι	β	ō	νε	μα
ρμα	σιθ	α	νγ	ō	δ	γ	β	ιη	κδ	β	ō	νδ	γ
ρμδ	σιϛ	α	μϛ	ō	γ	β	νζ	ιζ	ιβ	α	νη	νβ	κϛ
ρμζ	σιγ	α	λη	ō	γ	β	να	ιϛ	λε	α	νγ	ν	μη
ρν	σι	α	λ	ō	β	β	μβ	ιε	λα	α	μζ	μθ	ια
ρνγ	σζ	α	κβ	ō	β	β	λβ	ιδ	κ	α	μα	μζ	λδ
ρνϛ	σδ	α	ιγ	ō	β	β	κα	ιγ	γ	α	λδ	με	νζ
ρνθ	σα	α	ε	ō	α	β	θ	ια	μα	α	κϛ	μδ	λϛ
ρξβ	ρϟη	ō	νϛ	ō	α	α	νε	ι	ιγ	α	ιζ	μγ	ιε
ρξε	ρϟε	ō	μζ	ō	α	α	λη	η	μ	α	ζ	μβ	κϛ
ρξη	ρϟβ	ō	λη	ō	ō	α	ιθ	ζ	α	ō	νϛ	μα	λζ
ροα	ρπθ	ō	κη	ō	ō	α	α	ε	ιθ	ō	μγ	μ	μη
ροδ	ρπϛ	ō	ιθ	ō	ō	ō	μβ	γ	λε	ō	κδ	μ	ō
ροζ	ρπγ	ō	θ	ō	ō	ō	κα	α	μη	ō	ιδ	λθ	μδ
ρπ	ρπ	ō	ō	ō	ō	ō	ō	ō	ō	ō	ō	λθ	κη

MERCURE.

Apogée en 30l 10′ des serres.

NOMBRES COMMUNS. 1.		PROSTAPHÉRÈSE de LONGITUDE. 3.		DIFFÉRENCE SOUSTR. 4.		DIFFÉRENCE SOUSTRACTIVE 5.		PROSTAPHÉRÈSE de L'ANOMALIE. 6.		DIFFÉRENCE ADD. SOUSTR. 7.		SOIXANTIEMES SOUSTRACTIVES. 8.	
6d	354d	0d	18′	0d	1′	0d	10′	1d	38′	0d	5′	59′	20″
12	348	0	54	0	2	0	20	3	16	0	11	57	20
18	342	0	51	0	4	0	29	4	57	0	17	54	40
24	336	1	7	0	5	0	39	6	29	0	23	50	40
30	330	1	22	0	5	0	49	8	4	0	28	45	40
36	324	1	37	0	4	0	59	9	36	0	34	39	40
42	318	1	51	0	4	0	8	11	6	0	40	33	0
48	312	2	4	0	3	1	18	12	33	0	45	25	40
54	306	2	15	0	1	1	28	13	58	0	50	18	0
60	300	2	25	0 add.	0	1	39	15	18	0	56	10	20
66	294	2	34	0	2	1	49	16	33	1	4	2 add.	20
72	288	2	41	0	4	1	59	17	45	1	11	9	14
78	282	2	46	0	6	1	9	18	47	1	17	20	0
84	276	2	50	0	7	2	19	19	44	1	23	29	44
90	270	2	52	0	9	2	25	20	33	1	29	39	28
93	267	2	52	0	10	2	34	20	54	1	32	43	31
96	264	2	52	0	10	2	39	21	13	1	35	47	34
99	261	2	51	0	11	2	44	21	25	1	38	50	0
102	258	2	50	0	10	2	48	21	45	1	41	52	26
105	255	2	48	0	10	2	53	21	52	1	44	54	52
108	252	2	46	0	10	2	58	21	59	1	46	57	18
111	249	2	44	0	9	3	2	22	2	1	49	58	23
114	246	2	41	0	9	3	4	22	1	1	52	59	28
117	243	2	37	0	9	3	6	21	56	1	55	59	44
120	240	2	33	0	8	3	8	21	47	1	57	60	0
123	237	2	28	0	7	3	9	21	33	1	59	59	44
126	234	2	23	0	7	3	10	21	13	2	0	59	23
129	231	2	18	0	6	3	12	20	53	2	0	58	39
132	228	2	12	0	6	3	12	20	25	2	1	56	50
135	225	2	6	0	5	3	9	19	50	2	1	56	46
138	222	2	0	0	4	3	6	19	10	2	0	55	41
141	219	1	53	0	4	3	2	18	24	2	0	54	3
144	216	1	46	0	3	2	57	17	12	1	58	52	26
147	213	1	38	0	3	2	51	16	55	1	55	50	48
150	210	1	30	0	2	2	42	15	31	1	47	49	11
153	207	1	22	0	2	2	32	14	20	1	41	47	34
156	204	1	13	0	2	2	21	13	3	1	34	45	57
159	201	1	5	0	1	1	9	11	41	1	26	44	36
162	198	0	56	0	1	1	55	10	13	1	17	43	15
165	195	0	47	0	1	1	38	8	40	1	7	42	26
168	192	0	38	0	0	1	19	7	1	0	56	41	37
171	189	0	28	0	0	1	1	5	19	0	45	40	48
174	186	0	19	0	0	0	42	5	35	0	24	40	0
177	183	0	9	0	0	0	21	1	48	0	14	39	44
180	180	0	0	0	0	0	0	0	0	0	0	39	28

CHAPITRE XII.

CALCUL DE LA LONGITUDE DES CINQ PLANÈTES.

QUAND nous voudrons connoître les mouvements apparents de chacun de ces cinq astres, par le moyen des tables précédentes, d'après les mouvements périodiques de longitude et d'anomalie, nous ferons pour chacun le calcul suivant, qui est le même pour tous :

Quand nous aurons, pour le temps en question, dans les tables du moyen mouvement, les lieux moyens de longitude et d'anomalie dont nous rejetterons les circonférences entières, nous prendrons la distance à l'apogée de l'excentrique, ou la longitude moins celle de l'apogée. Ensuite nous prendrons dans la table d'anomalie de l'astre, les quantités qui dans la troisième colonne correspondront à l'argument, et nous les réunirons à celle de la quatrième ; et si le nombre qui se trouve pour la longitude est dans la première colonne, nous retrancherons la somme des deux nombres ou équation prise dans la table, des nombres de la longitude, et nous l'ajouterons à ceux de l'anomalie. Mais s'il est dans la seconde, nous l'ajouterons à ceux de la longitude, et nous la retrancherons de ceux de l'anomalie, pour avoir les deux lieux vrais. Après quoi, portant encore dans les deux premières colonnes le nombre déterminé

ΚΕΦΑΛΑΙΟΝ ΙΒ.

ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΜΗΚΟΣ ΤΩΝ ΠΕΝΤΕ ΠΛΑΝΩΜΕΝΩΝ ΨΗΦΟΦΟΡΙΑΣ.

ΟΤΑΝ οὖν, διὰ τῆς τῶν προκειμένων πραγματείας ἀπὸ τῶν περιοδικῶν κινήσεων μήκους τε καὶ ἀνωμαλίας, τὰς φαινομένας ἑνὸς ἑκάστου τῶν ἀστέρων θέλωμεν παρόδους ἐπιγινώσκειν, ποιησόμεθα τὸν τῆς ψηφοφορίας ἐπιλογισμὸν ἕνα καὶ τὸν αὐτὸν ὄντα ἐπὶ τῶν ε̄ ἀστέρων, τρόπῳ τοιῷδε.

Συνάγοντες γὰρ, ἐκ τῶν τῆς μέσης κινήσεως κανόνων, τὰς γινομένας εἰς τὸν ἐπιζητούμενον χρόνον μεθ' ὅλους κύκλους ὁμαλὰς ἐποχὰς μήκους τε καὶ ἀνωμαλίας, τὰς μὲν ἀπὸ τοῦ τότε ἀπογείου τοῦ τοῦ ἐκκέντρου μέχρι τῆς μέσης κατὰ μῆκος παρόδου μοίρας, πρῶτον εἰσοίσομεν εἰς τὸν οἰκεῖον τοῦ ἀστέρος κανόνα τῆς ἀνωμαλίας· καὶ τὰ παρακείμενα τῷ ἀριθμῷ ἐν τῷ τρίτῳ σελιδίῳ τῆς κατὰ μῆκος διευκρινήσεως μετὰ τῆς τῶν ἐν τῷ τετάρτῳ σελιδίῳ συνημμένης ἑξηκοστῶν προσθαιρέσεως, ἐὰν μὲν ὁ ἐκκείμενος τοῦ μήκους ἀριθμὸς κατὰ τὸ πρῶτον ἢ σελίδιον, ἀφελοῦμεν μὲν τῶν τοῦ μήκους μοιρῶν, προσθήσομεν δὲ ταῖς τῆς ἀνωμαλίας· ἐὰν δὲ κατὰ τὸ δεύτερον, προσθήσομεν ταῖς τοῦ μήκους, ἀφελοῦμεν δὲ τῶν τῆς ἀνωμαλίας, ἵνα ἔχωμεν ἀμφοτέρας τὰς παρόδους διευκρινημένας. Επειτα τὸν μὲν ἀπὸ τοῦ ἀπογείου τῆς ἀνωμαλίας διευκρινημένον ἀριθμὸν εἰσενεγκόντες πάλιν εἰς τὰ πρῶτα δύο σελίδια, τὴν παρακειμένην

αὐτῷ κατὰ τὸ ἔκτον σελίδιον τῆς μέσης ἀποστάσεως προσθαφαίρεσιν ἀπογραφόμεθα· τὸν δ' ἐξ ἀρχῆς προεισενηνεγμένον τοῦ ὁμαλοῦ μήκους ὁμοίως εἰσενεγκόντες εἰς τοὺς αὐτοὺς ἀριθμούς, ἐὰν μὲν ἐν τοῖς πρώτοις καὶ ἀπογειοτέροις ᾖ στίχοις τοῦ κατὰ τὴν μέσην ἀπόστασιν, ὅπερ ἐκ τῶν ἐν τῷ ὀγδόῳ σελιδίῳ ἑξηκοστῶν γίγνεται δῆλον, τὰ παρακείμενα αὐτῷ ἑξηκοστὰ ἐν αὐτῷ τῷ η^ῳ σελιδίῳ, ὅσα ἐὰν ᾖ, τὰ τοσαῦτα λαβόντες τοῦ παρακειμένου διαφόρου τῷ στίχῳ τῆς ἀπογεγραμμένης μέσης προσθαφαιρέσεως ἐν τῷ τῆς μεγίστης ἀποστάσεως πέμπτῳ σελιδίῳ, τὰ γενόμενα ἀφελοῦμεν ὧν ἀπεγραψάμεθα.

Ἐὰν δ' ὁ τοῦ εἰρημένου μήκους ἀριθμὸς ἐν τοῖς ὑποκάτω καὶ περιγειοτέροις ᾖ στίχοις τοῦ κατὰ τὴν μέσην ἀπόστασιν, τὰ παρακείμενα αὐτῷ ὁμοίως ἑξηκοστὰ ἐν τῷ η^ῳ σελιδίῳ, ὅσα ἐὰν ᾖ, τὰ τοσαῦτα λαβόντες τοῦ παρακειμένου διαφόρου τῇ ἀπογεγραμμένῃ μέσῃ προσθαφαιρέσει, τῷ τῆς ἐλαχίστης ἀποστάσεως ἑβδόμῳ σελιδίῳ, τὰ γενόμενα προσθήσομεν οἷς ἀπεγραψάμεθα. Καὶ τὰς συναχθείσας μοίρας τῆς διακεκριμένης προσθαφαιρέσεως, ἐὰν μὲν ὁ διευκρινημένος τῆς ἀνωμαλίας ἀριθμὸς κατὰ τὸ πρῶτον ᾖ σελίδιον, προσθήσομεν ταῖς τοῦ διευκρινημένου μήκους μοίραις· ἐὰν δὲ κατὰ τὸ δεύτερον, ἀφελοῦμεν αὐτῶν· καὶ τὸν συναχθέντα τῶν μοιρῶν ἀριθμὸν ἐκβάλλοντες ἀπὸ τοῦ τότε ἀπογείου τοῦ ἄστρος, ἐπὶ τὴν φαινομένην αὐτοῦ πάροδον καταντήσομεν.

de l'anomalie depuis l'apogée, nous écrirons la prostaphérèse qui est à côté, dans la sixième colonne, qui est celle de la moyenne distance. Ensuite, avec la longitude moyenne, pour argument, prise auparavant, si elle est dans les premières lignes qui sont plus apogées que le nombre de la distance moyenne, ce qui se voit par les soixantièmes de la huitième colonne, nous prendrons les soixantièmes qui sont à côté dans cette huitième colonne; et multipliant par ce nombre la différence entre la prostaphérèse et la quantité qui se trouve dans la cinquième colonne, qui est celle de la plus grande distance, nous retrancherons le produit de cette multiplication, de la quantité ecrite, c'est-à-dire de la prostaphérèse des moyennes distances.

Mais si ce même nombre de la longitude est dans les lignes inférieures et plus périgées que celui de la distance moyenne; prenant de même à côté dans la huitième colonne les soixantièmes, nous les multiplierons par le nombre pris dans la septième colonne, qui est celle de la moindre distance, et le produit, nous l'ajouterons à la prostaphérèse moyenne, prise dans la sixième colonne. La prostaphérèse ou équation étant ainsi corrigée, nous l'ajouterons aux parties déterminées de la longitude, si le nombre déterminé de l'anomalie est dans la première colonne; mais s'il est dans la seconde, nous la retrancherons; et comptant depuis l'apogée de l'astre la somme des quantités, nous parviendrons à son lieu apparent.

ΚΛΑΥΔΙΟΥ ΠΤΟΛΕΜΑΙΟΥ ΜΑΘΗΜΑΤΙΚΗΣ ΣΥΝΤΑΞΕΩΣ ΤΟΥ ΙΑ ΒΙΒΛΙΟΥ ΤΕΛΟΣ.

FIN DU LIVRE ONZIÈME DE LA COMPOSITION MATHÉMATIQUE DE CL. PTOLÉMÉE.

ΚΛΑΥΔΙΟΥ ΠΤΟΛΕΜΑΙΟΥ

ΜΑΘΗΜΑΤΙΚΗΣ ΣΥΝΤΑΞΕΩΣ

ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

DOUZIÈME LIVRE

DE LA COMPOSITION MATHÉMATIQUE

DE CLAUDE PTOLÉMÉE.

ΚΕΦΑΛΑΙΟΝ I.

ΠΕΡΙ ΤΩΝ ΕΙΣ ΤΑΣ ΠΡΟΗΓΗΣΕΙΣ ΠΡΟΛΑΜΒΑΝΟΜΕΝΩΝ.

Τουτων ἀποδεδειγμένων, ἀκόλουθον ἂν εἴη καὶ τὰς καθ' ἕκαστον τῶν πέντε πλανωμένων γινομένας προηγήσεις ἐλαχίστας τε καὶ μεγίστας ἐπισκέψασθαι, καὶ δεῖξαι καὶ τὰς τούτων πηλικότητας ἀπὸ τῶν ἐκκειμένων ὑποθέσεων συμφώνους ὡς ἔνι μάλιστα γινομένας ταῖς ἐκ τῶν τηρήσεων καταλαμβανομέναις. Εἰς δὲ τὴν τοιαύτην διάληψιν, προαποδεικνύουσι μὲν ἡ οἵ τε ἄλλοι μαθηματικοὶ, καὶ Ἀπολλώνιος ὁ περγαῖος, ὡς ἐπὶ μιᾶς τῆς παρὰ τὸν ἥλιον ἀνωμαλίας, ὅτι ἐάν τε διὰ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως γίνηται, τοῦ μὲν ἐπικύκλου περὶ τὸν ὁμόκεντρον τῷ ζωδιακῷ κύκλον τὴν κατὰ μῆκος παρόδον εἰς τὰ ἑπόμενα τῶν ζωδίων ποιουμένου, τοῦ δὲ

CHAPITRE I.

PRÉLIMINAIRES POUR LES RÉTROGRADATIONS.

Après avoir démontré ce qui précède, il est naturel de passer à la considération des plus grandes et des moindres rétrogradations des cinq planètes, et de prouver par les hypothèses que nous avons posées, que leurs quantités sont généralement conformes à celles que l'on trouve par les observations. Mais pour traiter cet objet, les géomètres, et entr'autres (*a*) Apollonius de Perge, commencent par démontrer que dans l'une des deux anomalies, dans celle qui se rapporte au soleil, si on l'explique par l'hypothèse d'un épicycle qui se meut dans un cercle concentrique au zodiaque suivant l'ordre des signes, tandis que l'astre lui-même avance sur l'épicycle en

ἀστέρος ἐπὶ τῦ ἐπικύκλυ περὶ τὸ κέντρον αὐτοῦ τὴν τῆς ἀνωμαλίας, ὡς ἐπὶ τὰ ἑπόμενα τῆς ἀπογείου περιφερείας, καὶ διαχθῆ τις ἀπὸ τῆς ὄψεως ἡμῶν εὐθεῖα τέμνουσα τὸν ἐπίκυκλον, οὕτως ὥστε τοῦ ἀπολαμβανομένου αὐτῆς ἐν τῷ ἐπικύκλῳ τμήματος τὴν ἡμίσειαν, πρὸς τὴν ἀπὸ τῆς ὄψεως ἡμῶν μέχρι τῆς κατὰ τὸ περίγειον τοῦ ἐπικύκλου τομῆς, λόγον ἔχειν, ὃν τὸ τάχος τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος, τὸ γινόμενον σημεῖον ὑπὸ τῆς οὕτως διαχθείσης εὐθείας πρὸς τῇ περιγείῳ περιφερείᾳ τοῦ ἐπικύκλου, διορίζει τάς τε ὑπολείψεις καὶ τὰς προηγήσεις, ὥστε κατ' αὐτοῦ γινόμενον τὸν ἀστέρα φαντασίαν ποιεῖσθαι στηριγμοῦ. Ἐάν τε διὰ τῆς κατ' ἐκκεντρότητα ὑποθέσεως ἡ παρὰ τὸν ἥλιον ἀνωμαλία συμβαίνῃ, τῆς τοιαύτης ἐπὶ μόνων τῶν πᾶσαν ἀπόστασιν ἀπὸ τοῦ ἡλίου ποιουμένων τριῶν ἀστέρων προχωρεῖν δυναμένης, τοῦ μὲν κέντρου τοῦ ἐκκέντρου περὶ τὸ τοῦ ζωδιακοῦ κέντρον εἰς τὰ ἑπόμενα τῶν ζωδίων ἰσοταχῶς τῷ ἡλίῳ φαινομένου, τοῦ δὲ ἀστέρος ἐπὶ τοῦ ἐκκέντρου περὶ τὸ κέντρον αὐτοῦ εἰς τὰ προηγούμενα τῶν ζωδίων ἰσοταχῶς τῇ τῆς ἀνωμαλίας παρόδῳ, καὶ διαχθῇ τις εὐθεῖα ἐπὶ τοῦ ἐκκέντρου κύκλου διὰ τοῦ κέντρου τοῦ ζωδιακοῦ, τουτέστι τῆς ὄψεως, οὕτως ἔχουσα, ὥστε τὴν ἡμίσειαν αὐτῆς ὅλης πρὸς τὸ ἔλασσον τῶν ὑπὸ τῆς ὄψεως γινομένων τμημάτων, λόγον ἔχειν, ὃν τὸ τάχος τοῦ ἐκκέντρου πρὸς τὸ τάχος τοῦ ἀστέρος, κατ' ἐκεῖνο τὸ σημεῖον γιγνόμενος ὁ ἀστὴρ, καθ' ὃ τέμνει ἡ εὐθεῖα τὴν περίγειον τοῦ ἐκκέντρου περιφέρειαν, τὴν τῶν στηριγμῶν

sens contraire, c'est-à-dire contre l'ordre des signes autour du centre de cet épicycle et de l'anomalie et en s'éloignant de l'apogée, et que l'œil de l'observateur ou même une ligne qui coupe l'épicycle de manière que la moitié de la partie de la sécante comprise dans le cercle soit à la droite menée de l'œil à l'épicycle dans sa partie périgée, comme la vîtesse de l'épicycle à la vîtesse de la planète, le point ainsi déterminé séparera le mouvement direct d'avec le mouvement rétrograde, ensorte que l'astre, étant à ce point, paroîtra stationnaire. Mais si l'anomalie ou l'inégalité solaire s'exprime par une excentricité, ce qui ne peut avoir lieu que pour les trois planètes qui peuvent se trouver à une distance angulaire quelconque du soleil, le centre de l'excentrique tournant autour du zodiaque en suivant l'ordre des signes, avec une vîtesse égale au mouvement du soleil, l'astre rétrogradant sur son excentrique avec une vîtesse égale au mouvement d'anomalie, et que l'on mène au cercle excentrique une certaine ligne par le centre du zodiaque, c'est-à-dire par le lieu de l'œil, de manière que la moitié de la ligne entière soit au plus petit des segments formés par le lieu de l'œil comme la vîtesse de l'excentrique à la vîtesse de l'astre, il arrivera que l'astre paroîtra stationnaire quand il occupera le point où la droite coupe la partie périgée de l'excentrique.

Néanmoins nous exposerons en passant, et même d'une manière plus commode, cette proposition, en nous servant d'une hypothèse mixte et composée des deux précédentes, pour faire voir leur ressemblance et leur accord dans les rapports qu'elles donnent.

φαντασίαν ποιήσεται. Καὶ ἡμεῖς δὲ οὐδὲν ἧττον ἐξ ἐπιδρομῆς εὐχρηστότερον παρασήσομεν τὸ προκείμενον, κοινῇ καὶ μεμιγμένῃ δείξει χρησάμενοι κατ' ἀμφοτέρων τῶν ὑποθέσεων πρὸς ἔνδειξιν τῆς καὶ ἐν τούτοις αὐτῶν τοῖς λόγοις συμφωνίας καὶ ὁμοίοτητος.

Car soit l'épicycle ABGD autour du centre E, et son diamètre AEG prolongé en Z, centre du cercle milieu du zodiaque, c'est-à-dire le point d'où notre œil regarde. Prenant de part et d'autre du point G périgée les arcs égaux GH et GT, menez du point Z par les points H et T, les droites ZHB et ZTD, et joignez DH et BT qui s'entrecoupent en K qui tombera sur le diamètre AG. Nous disons que comme la droite AZ est à la droite ZG, ainsi la droite AK est à la droite KG. En effet, joignons AD et DG, et par G menons à AD la parallèle LGM qui sera perpendiculaire sur DG, puisque l'angle ADG est droit. Actuellement, l'angle GDH étant égal à l'angle GDT, et la droite GL égale à la droite GM, la droite AD sera en même temps raison à l'une qu'à l'autre de ces droites. Mais comme AD est à GM, ainsi AZ est à ZG; et comme AD est à LG, ainsi AK est à KG; donc comme AZ est à ZG, ainsi AK est à KG. Si donc dans la supposition de l'excentricité nous regardons l'épicycle ABGD comme étant



Εσω γὰρ ἐπίκυκλος ὁ ΑΒΓΔ, περὶ κέντρον τὸ Ε, καὶ διάμετρος αὐτοῦ, ἡ ΑΕΓ, ἐκβεβλημένη ἐπὶ τὸ Ζ κέντρον τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, τουτέστι τὴν ὄψιν ἡμῶν, καὶ ἀπολημφθεισῶν ἐφ' ἑκάτερα τοῦ Γ περιγείου περιφερειῶν ἴσων τῆς τε ΓΗ καὶ τῆς ΓΘ· διήχθωσαν ἀπὸ τοῦ Ζ, διὰ τῶν Η καὶ Θ σημείων ἥτε ΖΗΒ καὶ ἡ ΖΤΔ, καὶ ἐπεζεύχθωσαν ἥτε ΔΗ, καὶ ἡ ΒΘ τέμνουσαι ἀλλήλας κατὰ τὸ Κ σημεῖον, ὃ δῆλον ὅτι ἐπὶ τῆς ΑΓ διαμέτρου πεσεῖται· λέγομεν ὅτι ὡς ἡ ΑΖ εὐθεῖα πρὸς τὴν ΖΓ, οὕτως ἡ ΑΚ πρὸς τὴν ΚΓ. Επεζεύχθωσαν γὰρ ἥτε ΑΔ καὶ ἡ ΔΓ, καὶ διὰ τοῦ Γ παράλληλος ἤχθω τῇ ΑΔ ἡ ΛΓΜ ὀρθὴ γινομένη δῆλον ὅτι πρὸς τὴν ΔΓ, ἐπεὶ καὶ ἡ ὑπὸ ΑΔΓ γωνία ὀρθή ἐστιν. Επεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΓΔΗ γωνία τῇ ὑπὸ ΓΔΘ, ἴση ἐστὶ καὶ ἡ ΓΛ εὐθεῖα τῇ ΓΜ· καὶ ἡ ΑΔ ἄρα πρὸς ἑκατέραν αὐτῶν τὸν αὐτὸν ἔχει λόγον· ἀλλ' ὡς μὲν ἡ ΑΔ πρὸς τὴν ΓΜ, οὕτως ἡ ΑΖ πρὸς τὴν ΖΓ, ὡς δὲ ἡ ΑΔ πρὸς τὴν ΛΓ, οὕτως ἡ ΑΚ πρὸς τὴν ΚΓ. Καὶ ὡς ἄρα ἡ ΑΖ πρὸς τὴν ΖΓ, οὕτως ἡ ΑΚ πρὸς τὴν ΚΓ. Εὰν ἄρα τὸν ΑΒΓΔ ἐπίκυκλον, ὡς

ἐπὶ τῆς κατ' ἐκκεντρότητα ὑποθέσεως αὐτὸν νοήσωμεν τὸν ἔκκεντρον, τὸ Κ σημεῖον τὸ κέντρον ἔσαι τῦ ζωδιακοῦ, καὶ διαιρεθήσεται ὑπ' τὸ αὐτοῦ ἡ ΑΓ διάμετρος εἰς τὸν αὐτὸν λόγον τῆς κατ' ἐπίκυκλον ὑποθέσεως· ἐπειδήπερ ἐδείξαμεν ὅτι ὃν ἔχει λόγον ἐπὶ τοῦ ἐπικύκλου τὸ ΑΖ μέγιστον ἀπόσημα πρὸς τὸ ΖΓ ἐλάχιστον ἀπόσημα, τοῦτον ἔχει καὶ ἐπὶ τοῦ ἐκκέντρυ τὸν λόγον τὸ ΑΚ μέγιστον ἀπόσημα πρὸς τὸ ΚΓ ἐλάχιστον ἀπόσημα.

l'excentrique, le point K sera le centre du zodiaque, il partagera le diamètre AG dans la même proportion que dans la supposition de l'épicycle. Car nous avons démontré que la plus grande distance AZ dans l'épicycle à la plus petite ZG, est en même raison que dans l'excentrique, la plus grande distance AL à la plus petite KG.



Λέγομεν δ' ὅτι καὶ ὃν ἔχει λόγον ἡ ΔΖ εὐθεῖα πρὸς τὴν ΖΘ, τοῦτον ἔχει τὸν λόγον καὶ ἡ ΒΚ εὐθεῖα πρὸς τὴν ΚΘ. Επεζεύχθω γὰρ ἐπὶ τῆς ὁμοίας καταγραφῆς ἡ ΒΝΔ εὐθεῖα ὀρθὴ γινομένη δῆλονότι πρὸς τὴν ΑΓ διάμετρον, καὶ διὰ τοῦ Θ ἤχθω αὐτῇ παράλληλος ἡ ΘΞ. Επεὶ τοίνυν ἴση ἐστὶν ἡ ΒΝ τῇ ΝΔ, ἑκατέρα ἄρα αὐτῶν πρὸς τὴν ΞΘ τὸν αὐτὸν ἔχει λόγον. Αλλ' ὡς μὲν ἡ ΝΔ πρὸς τὴν ΞΘ, οὕτως ἡ ΔΖ πρὸς τὴν ΖΘ· ὡς δὲ ἡ ΒΝ πρὸς τὴν ΞΘ, οὕτως ἡ ΒΚ πρὸς τὴν ΚΘ· καὶ ὡς ἄρα ἡ ΔΖ πρὸς τὴν ΖΘ, οὕτως ἡ ΒΚ πρὸς τὴν ΚΘ. Καὶ συνθέντι ὡς ἡ ΔΖ, ΖΘ πρὸς τὴν ΖΘ, οὕτως ἡ ΒΘ πρὸς τὴν ΘΚ. Καὶ διελόντων καθέτων ἀχθεισῶν τῶν ΕΟ καὶ ΕΠ, ὡς ἡ ΟΖ πρὸς τὴν ΖΘ, οὕτως ἡ ΠΘ πρὸς τὴν ΚΘ. Καὶ ἔτι διελόντι, ὡς ἡ ΟΘ πρὸς τὴν ΖΘ, οὕτως ἡ ΠΚ πρὸς τὴν ΚΘ. Εὰν ἄρα ἐπὶ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως ἡ ΔΖ οὕτως ἠγμένη, ὥστε τὴν ΟΘ πρὸς τὴν ΖΘ λόγον ἔχειν, ὃν τὸ τάχος τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος, τὸν αὐτὸν

Or, nous disons que la droite BK est à la droite KT comme la droite DZ est à la droite ZT. Car menons dans une pareille figure la droite BND perpendiculaire sur le diamètre AG, et par le point T menons-lui la parallèle TX. Puisque BN est égale à ND, il s'ensuit que chacune de celles-ci est en même raison à l'égard de XT. (*b*) Or, comme ND est à XT, ainsi DZ est à ZT; et comme BN est à XT, ainsi BK est à KT; donc, comme DZ est à ZT, ainsi BK est à KT; et, (*componendo*), comme DZ + ZT est à ZT, ainsi BT est à TK. Et ayant partagé par les perpendiculaires EO, EP, comme OZ est à ZT, ainsi PT est à KT. Et (*dividendo*), comme OT est à ZT, ainsi PK est à KT. Donc si dans la supposition de l'épicycle, DZ est tellement menée que OT soit à ZT en raison de la vîtesse de l'épicycle à la vîtesse de l'astre, la droite PK dans l'hypothèse d'excentricité aura la même raison à l'égard de la droite KT. Maintenant, la cause pour laquelle nous ne nous servons

pas pour les stations, de ce rapport de division, c'est-à-dire de celui de PK à KT, mais du rapport de composition, c'est-à-dire de celui de PT à KT, c'est que la vîtesse de l'épicycle est à l'égard de celle de l'astre, en même raison, que le mouvement seulement en longitude est au mouvement d'anomalie; et que la vîtesse de l'excentrique est à celle de l'astre, comme le mouvement moyen du soleil, c'est-à-dire celui qui est composé du mouvement en longitude et de celui de l'anomalie de l'astre, est à celui de l'anomalie. Par exemple, pour Mars, la raison de la vîtesse de l'épicycle à la vîtesse de l'astre est à peu près la même que celle de 42 à 37. Car nous avons prouvé que telle est à peu près la raison du mouvement en longitude à celui de l'anomalie, et qu'ainsi la même raison existe entre OT et TZ; mais que le rapport de la vîtesse de l'excentrique à la vîtesse de l'astre est celui de 79, somme de ces deux nombres, à 37, c'est-à-dire le rapport de PT à KT; puisque (*dividendo*), le rapport de PK à KT étoit le même que celui de OT à TZ, c'est-à-dire comme 42 est à 37. Cela soit dit pour servir de préparation à ce qui suit.



ἕξει λόγον ἡ ἐπὶ τῆς κατ' ἐκκεντρότητα ὑποθέσεως ἡ ΠΚ εὐθεῖα πρὸς τὴν ΚΘ. Αἴτιον δὲ τοῦ μὴ καὶ ἐνθάδε πρὸς τοὺς σπιγμοὺς τῷ διηρημένῳ τούτῳ λόγῳ κεχρῆσθαι, τουτέστι τῷ τῆς ΠΚ πρὸς τὴν ΚΘ, ἀλλὰ τῷ συνθέντι, τουτέστι τῷ τῆς ΠΘ πρὸς τὴν ΚΘ, τὸ τοῦ μὲν ἐπικύκλου τὸ τάχος πρὸς τὸ τοῦ ἀστέρος λόγον ἔχειν, ὃν ἡ κατὰ μῆκος μόνον πάροδος πρὸς τὴν τῆς ἀνωμαλίας, τοῦ δὲ ἐκκέντρου τὸ τάχος πρὸς τὸ τοῦ ἀστέρος λόγον ἔχειν, ὃν ἡ τοῦ ἡλίου μέση πάροδος, τουτέστιν ἥτε κατὰ μῆκος, καὶ ἡ τῆς ἀνωμαλίας τοῦ ἀστέρος συντεθεῖσα, πρὸς τὴν τῆς ἀνωμαλίας· ὥστε λόγου ἕνεκεν ἐπὶ τοῦ τοῦ Ἄρεος ἀστέρος, τὸν μὲν τοῦ τάχους τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος λόγον εἶναι, τὸν τῶν μβ̄ ἔγγιστα πρὸς τὰ λζ̄. Ὁ γὰρ τῆς κατὰ μῆκος παρόδου λόγος πρὸς τὴν τῆς ἀνωμαλίας τοσοῦτος ἔγγιστα ἡμῖν ἀπεδείχθη, καὶ διὰ τοῦτο τοῦτον ἔχειν τὸν λόγον ἡ τὴν ΟΘ πρὸς τὴν ΘΖ· τὸν δὲ τοῦ τάχους τοῦ ἐκκέντρου πρὸς τὸ τάχος τοῦ ἀστέρος, τὸν συναμφοτέρων τῶν οθ̄ πρὸς τὰ λζ̄, τουτέστι συντεθειμένων, τὸν τῆς ΠΘ πρὸς τὴν ΘΚ. Ἐπειδὴ κατὰ διαίρεσιν ὁ τῆς ΠΚ πρὸς τὴν ΚΘ λόγος, ὁ αὐτὸς ἦν τῷ τῆς ΟΘ πρὸς τὴν ΘΖ, τουτέστι τῷ τῶν μβ̄ πρὸς τὰ λζ̄. Καὶ ταῦτα μὲν ἡμῖν ἔσω μέχρι τοσούτου προτεθεωρημένα.

Il nous reste à faire voir qu'ayant pris les droites ainsi partagées, dans l'une et l'autre hypothèse, leurs points H et T embrasseront

Καταλειπόμενον δὲ δειχθῆναι διότι τῶν εἰς τὸν τοιοῦτον διαιρουμένων εὐθειῶν ληφθεισῶν ἐφ' ἑκατέρας τῶν ὑποθέσεων,



τὰ Η καὶ Θ σημεῖα περιέξει τὰς τῶν σπειρῶν φαντασίας, καὶ τὴν μὲν ΗΓΘ περιφέρειαν προηγητικὴν ἀναγκη γίγνεσθαι, τὴν δὲ λοιπὴν ὑπολειπτικήν. Προλαμβάνει λημμάτιον ὁ Απολλώνιος τοιοῦτον, ὅτι ἐὰν τριγώνου τοῦ ΑΒΓ μεῖζονα ἔχοντος τὴν ΒΓ τῆς ΑΓ, ἀπολημφθῇ ἡ ΓΔ μὴ ἐλάσσων τῆς ΑΓ, ἡ ΓΔ πρὸς τὴν ΒΔ μείζονα λόγον ἕξει, ἤπερ ἡ ὑπὸ ΑΒΓ γωνία πρὸς τὴν ὑπὸ ΒΓΑ. Δείκνυσι δ' οὕτως· συμπεπληρώσθω γάρ, φησι, τὸ ΑΔΓΕ παραλληλόγραμμον, καὶ ἐκβληθεῖσαι αἱ ΒΑ καὶ ΓΕ συμπιπτέτωσαν κατὰ τὸ Ζ σημεῖον· ἐπεὶ ἡ ΑΕ τῆς ΑΓ οὐκ ἔσιν ἐλάσσων, ὁ ἄρα κέντρῳ τῷ Α, καὶ διαστήματι τῷ ΑΕ γραφόμενος κύκλος ἤτοι διὰ τοῦ Γ ἐλεύσεται ἢ ὑπὲρ τὸ Γ. Γεγράφθω δὴ διὰ τοῦ Γ ὁ ΗΕΓ. Καὶ ἐπεὶ μεῖζον μέν ἐσι τὸ ΑΕΖ τρίγωνον τοῦ ΑΕΗ τομέως, ἔλασσον δὲ τὸ ΑΕΓ τρίγωνον τοῦ ΑΕΓ τομέως, μείζονα λόγον ἔχει τὸ ΑΕΖ τρίγωνον πρὸς τὸ ΑΕΓ, ἤπερ ὁ ΑΕΗ τομεὺς πρὸς τὸν ΑΕΓ τομέα. Αλλ' ὡς μὲν ὁ ΑΕΗ τομεὺς πρὸς τὸν ΑΕΓ, οὕτως ἡ ὑπὸ ΕΑΖ γωνία πρὸς τὴν ὑπὸ ΕΑΓ γωνίαν. Ως δὲ τὸ ΑΕΖ τρίγωνον πρὸς τὸ ΑΕΓ, οὕτως ἡ ΖΕ βάσις πρὸς τὴν ΕΓ· μείζονα λόγον ἄρα ἔχει ἡ ΖΕ πρὸς τὴν ΕΓ, ἤπερ ἡ ὑπὸ ΖΑΕ γωνία πρὸς τὴν ὑπὸ ΕΑΓ· Αλλ' ὡς μὲν ἡ ΖΕ πρὸς τὴν ΕΓ, οὕτος ἡ ΓΔ πρὸς τὴν ΔΒ, ἴση δὲ ἡ μὲν ὑπὸ ΖΑΕ γωνία τῇ ὑπὸ ΑΒΓ, ἡ δὲ ὑπὸ ΕΑΓ τῇ ὑπὸ ΒΓΑ. Καὶ ἡ ΓΔ ἄρα πρὸς τὴν

les apparences des stations; que l'arc HGT sera nécessairement rétrograde, c'est-à-dire parcouru contre l'ordre des signes, et que l'arc restant sera direct ou parcouru suivant l'ordre des signes. Apollonius commence par établir le lemme suivant, savoir : que si le triangle ABG ayant son côté BG plus grand que le côté AG, on prend GD qui ne soit pas moindre (*c*) que AG, alors GD sera en plus grande raison relativement à BD, que l'angle ABG à l'égard de l'angle BGA; ce qu'il prouve en disant : le parallélogramme ABGE étant complété, prolongez les droites BA, GE, jusquà ce qu'elles se rencontrent au point Z. Puisque AE n'est pas moindre que AG, le cercle décrit du centre A et du rayon AE passera par G ou au-dessus. Décrivons donc le cercle HEG passant par le point G. Puisque le triangle AEZ est plus grand que le secteur AEH, et que le triangle AEG est plus petit que le secteur AEG, il s'ensuit que le triangle AEZ est en plus grande raison relativement au triangle AEG, que le secteur AEH n'est au secteur AEG. Mais comme le secteur AEH est au secteur AEG, ainsi l'angle EAZ est à l'angle EAG; et comme le triangle AEZ est au triangle AEG, ainsi la base ZE est à la base EG : donc ZE est en plus grande raison par rapport à EG, que l'angle ZAE à l'angle EAG. Mais comme ZE est à EG, ainsi GD est à DB; et l'angle ZAE est égal à l'angle ABG, et l'angle EAG est égal à l'angle BGA. Donc GD est en plus grande raison

relativement à DB, que l'angle ABG à l'angle AGB. Or il est clair que la raison sera bien plus grande encore, si GD, c'est-à-dire AE, n'est pas supposée égale à AG, mais plus grande.

ΑΒ μείζονα λόγον ἔχει, ἤπερ ἡ ὑπὸ ΑΒΓ γωνία πρὸς τὴν ὑπὸ ΑΓΒ. Φανερὸν δ' ὅτι, καὶ πολλῷ μείζων ὁ λογος ἔσαι, μὴ ἴσης ὑποτιθεμένης τῇ ΑΓ τῆς ΓΔ, τουτέσι τῆς ΑΕ, ἀλλὰ μείζονος.

Cela posé, soit l'épicycle ABGD décrit autour du centre E sur le diamètre AEG que je prolonge en Z, lieu de notre œil, ensorte que EG soit en plus grande raison relativement à GZ, que la vîtesse de l'épicycle relativement à la vîtesse de l'astre : il sera donc possible de mener la droite ZHB telle que la moitié de BH soit à la portion HZ, en même raison que la vîtesse de l'épicycle à la vîtesse de l'astre. Si même nous avons pris, suivant ce qui est dit précédemment, l'arc AD égal à l'arc AB, et que nous joignions la droite DTH, dans l'hypothèse de l'excentricité, notre œil sera censé en T, et la moitié de DH sera à TH, comme la vîtesse de l'excentrique à la vîtesse de l'astre. Nous disons que dans l'une et l'autre hypothèse, l'astre parvenu au point H, aura l'apparence d'être stationnaire, et que quelqu'arc que nous prenions de chaque côté du point H, celui que nous aurons pris du côté de l'apogée sera trouvé oriental ou suivant l'ordre des points du zodiaque ; et celui que nous aurons pris du côté du périgée, sera occidental ; ou contre l'ordre de ces points.



Τούτου προληφθέντος, ἐστω ἐπίκυκλος ὁ ΑΒΓΔ περὶ κέντρον τὸ Ε, καὶ διάμετρον τὴν ΑΕΓ, ἥτις ἐκβεβλήσθω ἐπὶ τὸ Ζ σημεῖον τῆς ὄψεως ἡμῶν, οὕτως ὥστε τὴν ΕΓ πρὸς τὴν ΓΖ μείζονα λόγον ἔχειν, ἤπερ τὸ τάχος τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος· δυνατὸν ἄρα διαγαγεῖν τὴν ΖΗΒ εὐθεῖαν οὕτως ἔχουσαν, ὥστε τὴν ἡμίσειαν τῆς ΒΖ πρὸς τὴν ΗΖ λόγον ἔχειν, ὃν τὸ τάχος τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος. Κἂν διὰ τὰ προδεδειγμένα ἀπολάβωμεν ἴσην τῇ ΑΒ περιφερείᾳ τὴν ΑΔ, καὶ ἐπιζεύξωμεν τὴν ΔΘΗ, τὸ μὲν Θ σημεῖον ἐπὶ τῆς κατ' ἐκκέντροτητα ὑποθέσεως ὄψις ἡμῶν νοηθήσεται, ἡ δ' ἡμισεια τῆς ΔΗ πρὸς τὴν ΘΗ λόγον ἕξει ὃν τὸ τάχος τοῦ ἐκκέντρου πρὸς τὸ τάχος τοῦ ἀστέρος· λέγομεν δὴ ὅτι κατὰ τὸ Η σημεῖον γενόμενος ὁ ἀστὴρ, ἐφ' ἑκατέρας τῶν ὑποθέσεων, φαντασίαν στηριγμοῦ ποιήσεται, καὶ ἡλίκην ἂν ἀπολάβωμεν ἐφ' ἑκάτερα τοῦ Η περιφέρειαν, τὴν μὲν πρὸς τῷ ἀπογείῳ ἀπολαμβανομένην ὑπολειπτικὴν εὑρήσομεν, τὴν δὲ πρὸς τῷ περιγείῳ προηγητικήν.

Car, prenons d'abord du côté de l'apogée, l'arc quelconque KH, et menons les droites ZKL et KTM : joignons BK et DK,

Απειλήφθω γὰρ πρὸς τῷ ἀπογείῳ πρῶτον τυχοῦσα ἡ ΚΗ περιφέρεια, καὶ διήχθωσαν ἥτε ΖΚΛ καὶ ἡ ΚΘΜ. Καὶ ἐπεζεύχθωσαν ἥτε ΒΚ καὶ ἡ ΔΚ, καὶ

ἔτι ἥτε ΕΚ καὶ ἡ ΕΗ. Επεὶ τοίνυν τριγώνου τοῦ ΒΚΖ μείζων ἐστὶν ἡ ΒΗ τῆς ΒΚ, μείζονα λόγον ἔχει ἡ ΒΗ πρὸς τὴν ΗΖ, ἤπερ ἡ ὑπὸ ΗΖΚ γωνία πρὸς τὴν ὑπὸ ΗΒΚ γωνίαν· ὥστε καὶ ἡ ἡμίσεια τῆς ΒΗ πρὸς τὴν ΗΖ μείζονα λόγον ἔχει, ἤπερ ἡ ὑπὸ ΗΖΚ γωνία πρὸς τὴν διπλῆν τῆς ὑπὸ ΚΒΗ, τουτέστι τὴν ὑπὸ ΚΕΗ γωνίαν. Λόγος δὲ τῆς ἡμισείας τῆς ΒΗ πρὸς τὴν ΗΖ, ὁ τοῦ τάχους τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος. Ελάσσονα ἄρα λόγον ἔχει ἡ ὑπὸ ΗΖΚ γωνία πρὸς τὴν ὑπὸ ΚΕΗ, ἤπερ τὸ τάχος τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος. Η ἄρα τὸν αὐτὸν λόγον ἔχουσα γωνία πρὸς τὴν ὑπὸ ΚΕΗ τῷ τάχει τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος, μείζων ἐστὶ τῆς ὑπὸ ΗΖΚ. Εστω δὴ ἡ ὑπὸ ΗΖΝ. ἐπεὶ οὖν ἐν ὅσῳ χρόνῳ τὴν ΚΗ τοῦ ἐπικύκλου περιφέρειαν ὁ ἀστὴρ κινεῖται, ἐν τοσούτῳ τὸ κέντρον τοῦ ἐπικύκλου ἐπὶ τὰ ἐναντία κεκινήται τὴν ἴσην τῇ ἀπὸ τῆς ΖΗ ἐπὶ τὴν ΖΝ διαστάσει παρόδον, φανερὸν ὅτι ἐν τῷ ἴσῳ χρόνῳ ἐλάσσονα γωνίαν πρὸς τῇ ὄψει ἡμῶν ἡ ΚΗ τοῦ ἐπικύκλου περιφέρεια εἰς τὰ προηγούμενα μετενήνοχε τὸν ἀστέρα τὴν ὑπὸ ΗΖΚ, ἧς αὐτὸς ὁ ἐπίκυκλος μετεβίβασεν αὐτὸν εἰς τὰ ἑπόμενα, τουτέστι τῆς ὑπὸ ΗΖΝ γωνίας, ὥστε ὑπολελεῖφθαι τὸν ἀστέρα τὴν ὑπὸ ΚΖΝ γωνίαν.

Ομοίως κἂν ὡς ἐπὶ τοῦ ἐκκέντρου κύκλου λογιζώμεθα, ἐπεὶ ἡ ΒΗ πρὸς τὴν ΗΖ μείζονα λόγον ἔχει, ἤπερ ἡ ὑπὸ ΗΖΚ γωνία πρὸς τὴν ὑπὸ ΗΒΚ· καὶ συνθέντι ἄρα ἡ ΒΖ πρὸς τὴν ΖΗ μείζονα λόγον ἔχει, ἤπερ ἡ ὑπὸ ΒΚΛ γωνία πρὸς τὴν ὑπὸ ΗΒΚ. Αλλ' ὡς μὲν ἡ ΒΖ πρὸς

ΕΚ et EH. Puisque dans le triangle BKZ la portion BH est plus grande que le côté BK, BH est en plus grande raison relativement à HZ, que l'angle HZK à l'angle HBK. D'où il suit que la moitié de BH est en plus grande raison à l'égard de HZ, que l'angle HZK à l'égard du double de l'angle KBH, c'est-à-dire à l'égard de l'angle KEH. Mais la raison de la moitié de BH à la droite HZ est celle de la vîtesse de l'épicycle à la vîtesse de l'astre : donc l'angle HZK est en moindre raison relativement à l'angle KEH, que la vîtesse de l'épicycle à la vîtesse de l'astre. Par conséquent l'angle qui est à l'angle KEH en même raison que la vîtesse de l'épicycle à la vîtesse de l'astre, est plus grand que l'angle HZK. Soit cet angle l'angle HZN : puisque dans le même temps que l'astre parcourt l'arc KH de l'épicycle, le centre de l'épicycle a parcouru en sens contraire un espace égale à la différence de ZH à ZN, il est évident que dans le même temps, à notre vue, l'arc KH de l'épicycle a transporté l'astre vers les points antécédents, d'un angle KZH, moindre que l'angle HZN dont l'épicycle lui-même l'a transporté vers les points suivants ; de sorte que l'astre demeure en arrière, d'une quantité égale à l'angle KZN.

C'est le même raisonnement à faire dans le cas du cercle excentrique, puisque BH est à HZ, en plus grande raison que l'angle HZK à l'angle HBK ; donc (*componendo*), BZ est à HZ en plus grande raison que l'angle BKL à l'angle HBK. Or, comme BZ est à ZH, ainsi DT est à

TII. Mais, l'angle BKL est égal à l'angle DKM, et l'angle HBK à l'angle HDK; Donc DT est en plus grande raison relativement à TH, que l'angle DKM relativement à l'angle HDK. Ainsi, (*componendo*) la droite DH est en plus grande raison à l'égard de HT, que l'angle HTK relativement à l'angle HDK. Donc, (*dividendo*), la moitié de DH est en plus grande raison relativement à HT, que l'angle HTK relativement au double de l'angle HDK, c'est-à-dire relativement à l'angle HEK. Or la raison de la moitié de DH à TH est celle de la vîtesse de l'excentrique à la vîtesse de l'astre, donc l'angle HTK est à l'angle HEK, en moindre raison que la vîtesse de l'excentrique à la vîtesse de l'astre. Par conséquent, l'angle qui est à l'angle HEK en même raison que la vîtesse de l'excentrique à la vîtesse de l'astre est plus grand que l'angle HTK. Soit cet angle HTN : puisque l'astre, dans le même temps qu'il s'est avancé de l'angle KEH vers les points antécédents, en parcourant l'arc KH, a été porté par le mouvement de l'excentrique vers les points suivants, d'une quantité égale à l'angle HTN plus grand que l'angle KTH, il est évident qu'ainsi l'astre paroîtra laissé, de l'angle KTN, en arrière, (ou direct).

Il est aisé de voir que le contraire se prouvera de la même manière, si dans la même figure nous supposons que la moitié de LK est à KZ en même raison que la



τὴν ΖΗ, οὕτως ἡ ΔΘ πρὸς τὴν ΘΗ, ἴση δὲ ἐστὶν ἡ μὲν ὑπὸ ΒΚΛ γωνία τῇ ὑπὸ ΔΚΜ, ἡ δὲ ὑπὸ ΗΒΚ τῇ ὑπὸ ΗΔΚ· μείζονα ἄρα λόγον ἔχει καὶ ἡ ΔΘ πρὸς τὴν ΘΗ, ἤπερ ἡ ὑπὸ ΔΚΜ γωνία πρὸς τὴν ὑπὸ ΗΔΚ. Ωστε καὶ συνθέντι μείζονα λόγον ἔχει ἡ ΔΗ πρὸς τὴν ΗΘ, ἤπερ ἡ ὑπὸ ΗΘΚ γωνία πρὸς τὴν ὑπὸ ΗΛΚ. Καὶ διελόντι ἄρα μείζονα λόγον ἔχει ἡ τῆς ΔΗ ἡμίσεια πρὸς τὴν ΗΘ, ἤπερ ἡ ὑπὸ ΗΘΚ γωνία πρὸς τὴν διπλῆν τῆς ὑπὸ ΗΔΚ, τουτέστι τὴν ὑπὸ ΗΕΚ. Λόγος δὲ τῆς ἡμισείας τῆς ΔΗ πρὸς τὴν ΘΗ, ὁ τοῦ τάχους τοῦ ἐκκέντρου πρὸς τὸ τάχος τοῦ ἀστέρος· ἐλάσσονα ἄρα λόγον ἔχει ἡ ὑπὸ ΗΘΚ γωνία πρὸς τὴν ὑπὸ ΗΕΚ, ἤπερ τὸ τάχος τοῦ ἐκκέντρου πρὸς τὸ τάχος τοῦ ἀστέρος. Η ἄρα τὸν αὐτὸν λόγον ἔχουσα γωνία πρὸς τὴν ὑπὸ ΗΕΚ τῷ τάχει τοῦ ἐκκέντρου πρὸς τὸ τάχος τοῦ ἀστέρος, μείζων ἐστὶ τῆς ὑπὸ ΗΘΚ γωνίας. Εστω δὴ πάλιν ἡ ὑπὸ ΗΘΝ· ἐπεὶ οὖν ἐν τῷ ἴσῳ χρόνῳ ὁ ἀστὴρ, αὐτὸς μὲν τὴν ΚΗ περιφέρειαν κινηθεὶς, μεταβέβηκεν εἰς τὰ προηγούμενα τὴν ὑπὸ ΚΕΗ γωνίαν, ὑπὸ δὲ τῆς αὐτοῦ τοῦ ἐκκέντρου κινήσεως εἰς τὰ ἑπόμενα μετεβιβάσθη τὴν ὑπὸ ΗΘΝ γωνίαν μείζονα οὖσαν τῆς ὑπὸ ΚΘΗ, φανερὸν ὅτι καὶ οὕτως ὁ ἀστὴρ τὴν ὑπὸ ΚΘΝ γωνίαν ὑπολελειμμένος φανήσεται.

Εὐσύνοπτον δ' ὅτι διὰ τῶν αὐτῶν δειχθήσεται καὶ τὸ ἐναντίον, ἐὰν ἐπὶ τῆς αὐτῆς καταγραφῆς τὴν μὲν τῆς ΛΚ ἡμίσειαν πρὸ τὴν ΚΖ ὑποθώμεθα λόγον



ἔχειν, ὃν ἔχει τὸ τάχος τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος, ὥστε καὶ τὴν ἡμίσειαν τῆς ΜΚ πρὸς τὴν ΘΚ λόγον ἔχειν, ὃν ἔχει τὸ τάχος τοῦ ἐκκέντρου πρὸς τὸ τάχος τοῦ ἀστέρος· τὴν δὲ ΚΗ περιφέρειαν ὡς πρὸς τὸ περίγειον τῆς ΛΖ εὐθείας νοήσωμεν ἀπειλημμένην. Ἐπιζευχθείσης γὰρ τῆς ΛΗ, καὶ ποιούσης τρίγωνον τὸ ΛΖΗ, ἐν ᾧ μείζων ἀπείληπται ἡ ΖΚ τῆς ΖΗ, ἐλάσσονα λόγον ἕξει ἡ ΛΚ πρὸς τὴν ΚΖ, ἤπερ ἡ ὑπὸ ΗΖΚ γωνία πρὸς τὴν ὑπὸ ΗΛΚ. Ὥστε καὶ ἡ ἡμίσεια τῆς ΛΚ πρὸς τὴν ΚΖ ἐλάσσονα λόγον ἔχει, ἤπερ ἡ ὑπὸ ΗΖΚ γωνία πρὸς τὴν διπλῆν τῆς ὑπὸ ΗΛΚ, τουτέστι τὴν ὑπὸ ΚΕΗ γωνίαν, ἀνάπαλιν ἢ ὥσπερ ἔμπροσθεν ἐδείχθη. Καὶ συναχθήσεται διὰ τῶν αὐτῶν ὅτι τὸ ἐναντίον ἡ ὑπὸ ΚΕΗ γωνία ἐλασσονα λόγον ἔχει πρὸς μὲν τὴν ὑπὸ ΗΖΚ γωνίαν, ἤπερ τὸ τάχος τοῦ ἀστέρος πρὸς τὸ τάχος τοῦ ἐπικύκλου· πρὸς δὲ τὴν ΗΘΖ, ἤπερ τὸ τάχος τοῦ ἀστέρος πρὸς τὸ τάχος τοῦ ἐκκέντρου. Ὥστε τῆς τὸν αὐτὸν λόγον ἐχούσης μείζονος γινομένης τῆς ὑπὸ ΚΕΗ γωνίας, μείζονα καὶ τὴν προηγητικὴν μετάβασιν τῆς ὑπολειπτικῆς ἀποτελεῖσθαι· Φανερὸν δὲ ὅτι καὶ ἐφ' ὧν ἀποσημάτων οὐ μείζονα λόγον ἔχει ἡ ΕΓ πρὸς τὴν ΓΖ τοῦ ὃν ἔχει τὸ τάχος τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος, οὔτε δυνατὸν ἔσαι διαγαγεῖν ἄλλην εὐθεῖαν ἐν τῷ ἴσῳ λόγῳ, οὔτε στρίζων ἢ προηγούμενος φανήσεται ὁ ἀστήρ. Ἐπεὶ γὰρ ἐν τριγώνῳ τῷ ΕΚΖ ἀπείληπται

vîtesse de l'épicycle à la vîtesse de l'astre, ensorte que la moitié de MK soit à TK, comme la vîtesse de l'excentrique est à celle de l'astre, et concevons l'arc KH pris du côté du périgée de la droite LZ. Ayant joint LH qui fait le triangle LZH, où ZK est pris plus grand que ZH, LK sera à KZ en moindre raison que l'angle HZK à l'angle HLK; de sorte que la moitié de LK est à KZ, en moindre raison que l'angle HZK au double de l'angle HLK, c'est-à-dire à l'angle KEH, au contraire de ce qui a été démontré ci-dessus. On en conclura qu'au contraire, l'angle KEH est en moindre raison à l'égard de l'angle HZK, que la vîtesse de l'astre à la vîtesse de l'épicycle; et relativement à l'angle HTK, en moindre raison que la vîtesse de l'astre à la vîtesse de l'excentrique. Ensorte que l'angle KEH devenu plus grand, étant en même raison, le mouvement de progression vers les points précédents, deviendra aussi plus grand que celui qui va vers les points suivants. Il est évident que dans toutes les distances où la droite EG n'est pas en plus grande raison relativement à la droite GZ, que la vîtesse de l'épicycle à celle de l'astre, il ne sera pas possible de tracer une autre droite dans la même raison, et l'astre ne paroîtra pas stationnaire ou rétrograde. Car puisque dans le triangle EKZ on a pris la droite EG non moindre

que EK, l'angle GZK sera en moindre raison à l'angle GEK, que la droite EG à la droite GZ. Mais la raison de EG à GZ n'est pas (*d*) plus grande que celle de la vîtesse de l'épicycle à la vîtesse de l'astre : donc l'angle GZK sera en moindre raison par rapport à l'angle GEK, que la vîtesse de l'épicycle à la vîtesse de l'astre. Ainsi, comme nous avons démontré que partout où cela arrive, l'astre est en arrière (direct ou laissé dans les points suivants), nous ne trouverons aucun arc ni de l'épicycle ni de l'excentrique, sur lequel il paroîtra rétrograder.



ἡ ΕΓ εὐθεῖα οὐκ ἐλάσσων τῆς ΕΚ, ἐλάσσονα λόγον ἕξει ἡ ὑπὸ ΓΖΚ γωνία πρὸς τὴν ὑπὸ ΓΕΚ, ἥπερ ἡ ΕΓ εὐθεῖα πρὸς τὴν ΓΖ· λόγος δὴ τῆς ΕΓ πρὸς τὴν ΓΖ οὐ μείζων τοῦ τοῦ τάχους τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος· ἐλλάσσονα ἄρα λόγον ἕξει καὶ ἡ ὑπὸ ΓΖΚ γωνία πρὸς τὴν ὑπὸ ΓΕΚ, ἥπερ τὸ τάχος τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος. Ως' ἐπεὶ δέδεικται ἡμῖν, ὅπου ἂν τοῦτο συμβαίνῃ, ὑπολειμμένος ὁ ἀστὴρ, οὐδεμίαν εὑρήσομεν τοῦ ἐπικύκλου καὶ τοῦ ἐκκέντρου περιφέρειαν καθ' ἣν προηγούμενος φανήσεται.

CHAPITRE II.

DÉMONSTRATION DES RÉTROGRADATIONS DE SATURNE.

CELA posé, nous allons appliquer à chaque planète, le calcul des rétrogradations suivant les hypothèses démontrées, et nous commencerons par Saturne, de la manière que l'on va voir.

Soit le cercle AB qui porte le centre de l'épicycle, et son diamètre AGB, sur lequel je suppose le centre du zodiaque, c'est-à-dire notre œil, en G. Ayant décrit autour du centre à l'épicycle DEZH, tirons la droite GZE de manière qu'après y avoir abaissé la perpendiculaire

ΚΕΦΑΛΑΙΟΝ Β.

ΑΠΟΔΕΙΞΙΣ ΤΩΝ ΤΟΥ ΚΡΟΝΟΥ ΠΡΟΗΓΗΣΕΩΝ.

ΤΟΥΤΩΝ οὕτως ἐχόντων, ἐκθησόμεθα λοιπὸν τὸν τῶν προηγήσεων ἐπιλογισμὸν καθ' ἕκαστον τῶν ἀστέρων, ἀκολούθως ταῖς ἀποδεδειγμέναις ὑποθέσεσιν, ἀπὸ τοῦ τοῦ κρόνου ποιησάμενοι τὴν ἀρχὴν τρόπῳ τοιῷδε.



Εσω γὰρ ὁ κύκλος ὃ τὸ κέντρον φέρων τοῦ ἐπικύκλου ὁ ΑΒ, περὶ διάμετρον τὴν ΑΓΒ, ἐφ' ἧς ὑποκείσθω τὸ κέντρον τοῦ ζωδιακοῦ, τουτέστιν ἡ ὄψις ἡμῶν, κατὰ τὸ Γ, καὶ γραφέντος περὶ τὸ Α κέντρου τοῦ ΔΕΖΗ ἐπικύκλου, διήχθω ἡ ΓΖΕ εὐθεῖα οὕτως, ὥστε καθέτου ἐπ' αὐτὴν ἀχθείσης

τῆς ΑΘ, τὴν ἡμίσειαν τῆς ΕΖ, τουτέστι τὴν ΘΖ, πρὸς τὴν ΖΓ λόγον ἔχειν ὃν τὸ τάχος τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος. Υποκείσθω δὲ πρῶτον ὁ ἐπίκυκλος κατὰ τὸ μέσον ἀπόσημα τὴν θέσιν ἔχων, ὥστε τὰς περιοδικὰς κινήσεις μήκους τε καὶ ἀνωμαλίας τὰς αὐτὰς ἐγγίσα γίνεσθαι ταῖς πρὸς τὸ κέντρον τοῦ ζωδιακοῦ θεωρουμέναις. Επεὶ οὖν ἐπὶ τοῦ τοῦ Κρόνου ἀστέρος, οἵων ἐστὶν ἡ ΓΑ τοῦ μέσου ἀποσήματος ξ̄, τοιούτων ἐδείξαμεν τὴν ΑΔ ἐκ τοῦ κέντρου τοῦ ἐπικύκλου ϛ̄ ς″, ὥστε τὴν μὲν ΔΓ ὅλην γίνεσθαι ξϛ̄ λ′, λοιπὴν δὲ τὴν ΓΗ τῶν αὐτῶν νγ̄ λ′, τὸ δ' ὑπ' αὐτῶν περιεχόμενον ὀρθογώνιον χφνζ̄ με̄, ἴσον δέ ἐστι τὸ ὑπὸ ΔΓ ΓΗ περιεχομένον ὀρθογώνιον τῷ ὑπὸ τῶν ΕΓ ΓΖ περιεχομένῳ, ἕξομεν καὶ τὸ ὑπὸ ΕΓ ΓΖ τῶν αὐτῶν χφνζ̄ με′. Πάλιν ἐπεὶ ταῖς μέσαις παρόδοις ἀκολούθως οἵων ἐστὶν ἑνὸς τὸ τάχος τῷ ἐπικύκλῳ, τοῦτέστιν ἡ ΘΖ εὐθεῖα, τοιούτων ἐστὶν κη̄ κε′ μς″ ἐγγίσα τὸ τάχος τοῦ ἀστέρος, τουτέστιν ἡ ΖΓ εὐθεῖα, ὥστε καὶ τὴν μὲν ΕΓ ὅλην συνάγεσθαι λ̄ κε′ μς″, τὸ δὲ ὑπὸ τῶν ΕΓ ΓΖ περιεχόμενον ὀρθογώνιον τῶν αὐτῶν ωξε̄ ε′ λϐ″, ἐὰν παραβάλωμεν παρὰ τὸν ἀριθμὸν τῶν ωξε̄ ε′λϐ″, τὰ χφνζ̄ με′, καὶ τῶν ἐκ τῆς παραβολῆς γινομένων δ̄ ς′ με″, τὴν πλευρὰν λαβόντες τὰ β̄ α′ μ″ πολυπλασιάσωμεν χωρὶς ἐπί τε τὸν τῆς ΘΖ τῷ ἑνὸς ἀριθμὸν, καὶ ἐπὶ τὸν τῶν κη̄ κε′ μς″, τῆς ΖΓ, ἕξομεν καὶ τὴν μὲν ΘΖ τοιούτων ϐ̄ α′ μ″, οἵων ἐστὶ τὸ ὑπὸ τῶν ΕΓ ΓΖ ὀρθογώνιον χφνζ̄ με′, τὴν δὲ ΖΓ τῶν αὐτῶν νζ̄ λη′ νε″. Επεὶ τοίνυν ἐπιζευχθείσης τῆς ΑΖ, οἵων μέν ἐστιν ϛ̄ λη′ λζ″, τοιούτων

AT, la moitié de EZ, c'est-à-dire TZ soit à ZG comme la vîtesse de l'épicycle à la vîtesse de l'astre. Supposons d'abord l'épicycle placé dans la distance moyenne, de sorte que les mouvements périodiques de longitude et d'anomalie soient à peu près les mêmes que ceux qui sont considérés relativement au centre du zodiaque. Puisque, pour Saturne, nous avons démontré que la droite AD menée du centre de l'épicycle, est de $6^{p}\frac{1}{2}$ des parties dont la droite GA de la distance moyenne en contient 60, ensorte que la droite entière DG est de 66^{p} 30′, et la portion GH de 53^{p} 30′, et que le rectangle (*a*) construit sur ces droites est de 3557^{p} 45′, et que celui de DG×GH est égal à celui de EG×GZ, nous aurons EG×GZ de 3557^{p} 45′ de ces parties. Et encore, puisque selon les mouvements moyens, la vîtesse de l'épicycle, c'est-à-dire la ligne TZ étant supposée de 1^{p}, la vîtesse de l'astre, c'est-à-dire ZG, est de 28^{d} 25′ 46″, ensorte que toute la droite EG seroit de 30^{p} 25′ 46″, et le rectangle de EG×GZ, de 865^{p} 5′ 32″ (*b*). Si nous divisons par ce nombre de 865^{p} 5′ 32″ les 3557^{p} 45′, et si prenant le côté (*racine*) 2^{p} 1′ 40″ du quotient, 4^{p} 6′ 45″ de cette division, nous le multiplions séparément d'abord par le nombre 1 de TZ, et puis par le nombre 28^{p} 25′ 46″, nous aurons la droite TZ de 2^{p} 1′ 40″ des parties dont le rectangle EG×GZ en contient 3557^{d} 45′, et la droite ZG de 57^{p} 38′ 55″ de ces mêmes parties (*c*). Maintenant, joignant AZ, puisque la droite ZΓ est de 2^{p} 1′ 40″ des parties dont la droite AZ en a 6^{p} 38′ 37″, et de 37^{p} 26′ 9″

de celles dont la même AZ en a 120, l'arc soutendu par TZ est de 36d 21′ 15″ des degrés dont le cercle décrit autour du rectangle AZT, et l'angle ZAT de 36d 21′ 15″ des degrés dont 360 font deux angles droits, et de 18d 10′ 38″ de ceux dont 360 font quatre angles droits, à peu près. En outre, puisque l'hypoténuse GHA est de 60p, (*d*) GZT est de 58p 40′ 35″, et de 119p 20′ 10″ des parties dont GA en contient 120, l'arc soutendu par GT sera de 158d 5′ 39″ des degrés dont le cercle décrit autour du rectangle A en contient 360, et l'angle GAT sera de 168d 5′ 39″ des degrés dont 360 font deux angles droits, et de 84d 2′ 50″ environ de ceux dont 360 font quatre angles droits. C'est pourquoi nous aurons l'angle AGT de 5d 57′ 10″ pour complément d'un angle droit, et l'angle ZAH de 65d 52′ 12″, reste de GAT après la soustraction de ZAT (*e*). Or, puisque dans la première station, l'astre paroît dans la droite GZ; et dans l'opposition, dans la direction GH, si le centre de l'épicycle ne s'avançoit pas selon l'ordre des signes, les 65d 52′ 12″ de l'arc ZH de ce cercle embrasseroient les 5d 57′ 10″ de l'angle AGZ de rétrogradation (vers les points antécédents). Mais puisque, suivant le rapport énoncé de la vîtesse de l'épicycle à la vîtesse de l'astre, aux 65d 52′ 12″ susdits d'anomalie répondent 2d 19′ environ de longitude, nous aurons la rétrogradation, depuis l'autrestation jusqu'à



ἐστὶν ἡ ΖΘ εὐθεῖα ϛ̄ α′ μ″, οἵων δὲ ρ̄, τοιούτων λ̄ζ̄ κ̄ϛ̄ θ″, εἴη ἂν καὶ ἡ μὲν ἐπὶ τῆς ΘΖ περιφέρεια τοιούτων λ̄ϛ̄ κα′ ιε″, οἵων ἐστὶν ὁ περὶ τὸ ΑΖΘ ὀρθογώνιον κύκλος τ̄ξ̄, ἡ δὲ ὑπὸ ΖΑΘ γωνία οἵων μὲν εἰσιν αἱ δύο ὀρθαὶ τ̄ξ̄, τοιούτων λ̄ϛ̄ κα′ ιε″, οἵων δ᾽ αἱ τέσσαρες ὀρθαὶ τ̄ξ̄, τοιούτων ιη̄ ι′ λη″ ἔγγιστα. Πάλιν ἐπεὶ οἵων μέν ἐσιν ξ̄ ἡ ΓΗΑ ὑποτείνουσα, τοιούτων συνάγεται καὶ ἡ ΓΖΘ ὅλη νθ̄ μ′ λε″, οἵων δὲ ρ̄, τοιούτων ριθ̄ κα′ ι″, εἴη ἂν καὶ ἡ μὲν ἐπὶ τῆς ΓΘ περιφέρεια τοιούτων ρξ̄η ε′ λθ″, οἵων ὁ περὶ τὸ ΑΓΘ ὀρθογώνιον κύκλος τ̄ξ̄, ἡ δὲ ὑπὸ ΓΑΘ γωνία, οἵων μέν εἰσιν αἱ δύο ὀρθαὶ τ̄ξ̄, τοιούτων ρξ̄η ε′ λθ″, οἵων δ᾽ αἱ τέσσαρες ὀρθαὶ τ̄ξ̄, τοιούτων πδ̄ ϛ′ ν″ ἔγγιστα. Διὰ τοῦτο δὲ καὶ τὴν μὲν ὑπὸ ΑΓΘ γωνίαν ἕξομεν τῶν λοιπῶν εἰς τὴν Α ὀρθὴν ε̄ νζ′ ι″, τὴν δὲ ὑπὸ ΖΑΗ, τῶν μετὰ τὴν ὑπὸ ΖΑΘ γωνίαν ξ̄ε νϛ′ ιϛ″. Επειδὴ οὖν κατὰ μὲν τὸν πρῶτον στηριγμὸν ἐπὶ τῆς ΓΖ φαίνεται ὁ ἀστὴρ, κατὰ δὲ τὴν ἀκρόνυκτον ἐπὶ τῆς ΓΗ, δῆλον ὅτι εἰ μὲν μηδὲν ἐκινεῖτο εἰς τὰ ἑπόμενα τὸ κέντρον τοῦ ἐπικύκλου, αἱ τῆς ΖΗ περιφερείας αὐτοῦ μοῖραι ξ̄ε νϛ′ ιϛ″, περιεῖχον προηγήσεως τὰς τῆς ὑπὸ ΑΓΖ γωνίας μοίρας ε̄ νζ′ ι″. Επεὶ δὲ κατὰ τὸν ἐκκείμενον λόγον τοῦ τάχους τοῦ ἐπικύκλου πρὸς τὸ τάχος τοῦ ἀστέρος, ἐπιβάλλουσι τοῖς προκειμένοις τῆς ἀνωμαλίας τμήμασι ξ̄ε νϛ′ ιϛ″ μήνους μοῖραι β̄ ιθ′ ἔγγιστα, τὴν μὲν ἀπὸ τοῦ ἑτέρου τῶν στηριγμῶν ἐπὶ τὴν ἀκρόνυκτον προήγησιν

ἔξομεν τῶν λοιπῶν μοιρῶν γ̄ λη′ ι″, καὶ ἡμερῶν ξθ̄ ἐν ὅσαις ἔγγισα τὰς β̄ ιθ′ μοίρας τοῦ περιοδικοῦ μήκους ὁ ἀστὴρ κινεῖται, τὴν δὲ ὅλην προήγησιν μοιρῶν ζ̄ ις′ κ″, καὶ ἡμερῶν ρλη̄.

Εξῆς δὲ τὰς περὶ τὸ μέγιστον ἀπόσημα πηλικότητας ἐπισκεψόμεθα διὰ τῶν αὐτῶν, τουτέστιν ὅταν ἡ μέση τῶν στηγμῶν ἀκρόνυκτος κατ' αὐτὸ τὸ ἀπογειότατον τοῦ ἐκκέντρου σημεῖον τὸ κέντρον ποιῇ τοῦ ἐπικύκλου, τῶν δὲ στηγμῶν ἑκάτερος δῆλον ὅτι περὶ τὴν σύνεγγυς τῶν πρὸς μέσον λόγον δεδειγμένων β̄ ιθ′ μοιρῶν ἀπὸ τῆς ἀκρονύκτου, τουτέστιν ἀπὸ τοῦ ἀπογείου τῇ διευκρινημένῃ μήκους διάστασιν. Καθ' ἣν θέσιν ἡ μὲν ΑΓ εὐθεῖα τοῦ τότε ἀποσήματος ἀδιαφοροῦσα τῆς τοῦ μεγίστου, διὰ τῶν προεφωδευμένων ἡμῖν θεωρημάτων καταλαμβάνεται, ἡ δὲ τῇ μιᾷ μοίρᾳ τοῦ μήκους ἐπιβάλλουσα προσθαφαίρεσις ἑξηκοστῶν ς̄ λ′ ἔγγισα· ὥστε καὶ τὸ διευκρινημένον μῆκος πρὸς τὴν διευκρινημένην ἀνωμαλίαν, τουτέστι τὸ φαινόμενον τότε τάχος τοῦ ἐπικύκλου πρὸς τὸ φαινόμενον τάχος τοῦ ἀστέρος λόγον ἔχειν, ὃν τὰ ὃ νγ′ λ″ πρὸς τὰ κη̄ λβ′ ις″.

Επεὶ οὖν τῆς αὐτῆς καταγραφῆς ἐκτεθείσης, οἵων ἐστὶν ἡ ΔΑ ἐκ τοῦ κέντρου τοῦ ἐπικύκλου ς̄ λ′, τοιούτων ἐστὶν ἡ ΓΑ ἀδιαφοροῦσα τοῦ μεγίστου ἀποσήματος ξγ̄ κε′, διὰ τοῦτο δὲ καὶ ἡ μὲν ΔΓ ὅλη συνάγεται ξθ̄ νε′, ἡ δὲ ΓΗ λοιπὴ νς̄ νε′, τὸ δὲ ὑπ' αὐτῶν, τουτέστι τὸ ὑπὸ ΕΓ ΓΖ περιεχόμενον ὀρθογώνιον γϡοθ̄ κε′ κε″. Ετι δὲ



l'opposition, de 3ᵈ 38′ 10″, et de 69 jours dans lesquels l'astre s'avance à peu près de 2ᵈ 19′ de longitude périodique; mais la rétrogradation entière, de 7ᵈ 16′ 20″, et de 138 jours (*f*).

A présent nous allons considérer par les mêmes voies, les grandeurs dans la plus grande distance, c'est-à-dire quand l'opposition moyenne entre les stations, met le centre de l'épicycle dans l'apogée même de l'excentrique, et qu'évidemment chacune des stations est dans la partie fort proche des 2ᵈ 19′ donnés pour la proportion moyenne, depuis l'opposition, c'est-à-dire dans la distance depuis l'apogée juste; position dans laquelle la droite AG de la distance qui a lieu alors, ne se trouve pas différente de celle de la plus grande, suivant les théorêmes que nous avons précédemment démontrés, mais où la prostaphérèse de 6 30′ soixantièmes environ, répond à 1ᵈ de longitude. Ensorte que la longitude vraie est à l'anomalie, c'est-à-dire la vîtesse alors apparente de l'épicycle à la vîtesse apparente de l'astre, comme 0ᵈ 53′ 30″ à 28ᵈ 32′ 16″.

Puis donc que, dans la même figure, la droite GA, peu différente de la plus grande distance, est de 63ᵖ 25′ des parties dont la droite DA menée du centre de l'épicycle en a 6ᵖ 30′, la droite entière DG en aura 69ᵖ 55′, et sa portion GH 56ᵖ 55′; et le rectangle formé de ces droites, ou EG × GZ est de 3979ᵖ 25′ 25″. Mais la droite

Supposons encore la longitude moyenne depuis l'apogée, de 3^{d}, en sorte que le soleil moyen soit dans les 13^{d} des serres, et le soleil vrai dans les 11^{d} 4′. Ayant mené la droite BE, décrivons autour du centre E, l'épicycle ZH, et après avoir tiré la tangente GH, joignons EB, EG, EH. Puisque suivant la position donnée, celle de l'angle ABE de 3 des degrés dont 360 font quatre angles droits, il est prouvé par ce qui précède, que l'angle AGE de la différence d'excentricité est de 2^{d} 52′ des mêmes degrés, et la droite EG de la distance de l'épicycle alors est d'environ 78^{p} 58′ des parties dont la droite EH menée du centre de l'épicycle en contient 22^{p} 30′. La droite EH aura 39^{p} 9′ de celles dont l'hypoténuse EG en contient 120. De sorte que l'arc soutendu par EH est de 38^{d} 5′ des degrés dont le cercle circonscrit au rectangle GEH en contient 360; et l'angle EGH est de 38^{d} 5′ des degrés dont 360 font deux angles droits, et d'environ 19^{d} 3′ de



Πάλιν ὑποκείσθω τὸ μέσον ἀπὸ τοῦ ἀπογείου μῆκος γ$\overline{\gamma}$ μοιρῶν, ὥστε καὶ τὸν μέσον ἥλιον ἐπέχειν χηλῶν μοίρας ι$\overline{\gamma}$, τὸν δ′ ἀκριβῆ ια$\overline{\alpha}$ δ′. Καὶ διαχθείσης τῆς ΒΕ, γεγράφθω περὶ τὸ Ε κέντρον ὁ ΖΗ ἐπίκυκλος, ἐφαπτομένης τε ὡσαύτως ἀχθείσης τῆς ΓΗ, ἐπεζεύχθωσαν αἱ ΕΒ, κ$\overline{\eta}$ ΕΓ, κ$\overline{\eta}$ ΕΗ. Επεὶ κατὰ τὴν ἐκκειμένην θέσιν, τυτέστι τῆς ὑπὸ ΑΒΕ γωνίας ὑποκειμένης τοιούτων γ$\overline{\gamma}$ οἵων εἰσὶν αἱ δ$\overline{\delta}$ ὀρθαὶ τ$\overline{\xi}$, δείκνυται διὰ τῶν προεφωδευμένων ἡ μὲν ὑπὸ ΑΓΕ γωνία τῆς παρὰ τὴν ἐκκεντρότητα διαφορᾶς, τῶν αὐτῶν β$\overline{\beta}$ νβ′, ἡ δὲ ΕΓ τοῦ τότε ἀποσήματος τοῦ ἐπικύκλου, τοιούτων ζ$\overline{\eta}$ νή ἐγγίσα, οἵων ἐστὶν ἡ ΕΗ ἐκ τοῦ κέντρου τοῦ ἐπικύκλου, κ$\overline{\beta}$ λ′, εἴη ἂν καὶ τοιούτων ἡ ΕΗ εὐθεῖα λ$\overline{\vartheta}$ θ′, οἵων ἐστὶν ἡ ΕΓ ὑποτείνουσα ρ$\overline{\kappa}$. Ὡστε καὶ ἡ μὲν ἐπὶ τῆς ΕΗ περιφέρεια τοιούτων ἐστὶ λ$\overline{\eta}$ ε′, οἵων ἐστὶν ὁ περὶ τὸ ΓΕΗ ὀρθογώνιον κύκλος τ$\overline{\xi}$, ἡ δὲ ὑπὸ ΕΓΗ γωνία, οἵων μέν εἰσιν αἱ δύο ὀρθαὶ τ$\overline{\xi}$, τοιούτων λ$\overline{\eta}$ ε′, οἵων δ′ αἱ

τέσσαρες ὀρθαὶ τξ, τοιούτων ιθ̄ γ′ ἔγγιστα. Διὰ τοῦτο δὲ καὶ ἡ μὲν ὑπὸ ΑΓΗ ὅλη τῶν αὐτῶν κᾱ νε′. Καὶ ὅταν ἄρα ὁ ἀστὴρ ἐπέχῃ σκορπίου μοίρας ᾱ νε′, τὸ πλεῖστον ἀποστήσεται τοῦ ἀκριβοῦς ἡλίου μοίρας κ̄ να′. Ἐδείχθη δ' ὅτι καὶ ὅταν ἐπέχῃ χηλῶν μοίρας κθ̄ β′, τὸ πλεῖστον ἀφέξει τοῦ ἀκριβοῦς ἡλίου μοίρας κᾱ β′. Ἐπεὶ οὖν τῶν μὲν ἐποχῶν ἡ ὑπεροχὴ μοιρῶν ἐστι β̄ νγ′, τῶν δὲ μεγίστων διαστάσεων ἑξήκοντα ια′, ὡς καὶ τοῖς ἀπὸ τῆς ᾱ ἐποχῆς ἐπὶ τὴν ἀρχὴν τοῦ σκορπίου ἑξήκοσοῖς νη̄ ἐπιβάλλειν ξξ̄ δ′ ἔγγιστα· ταῦτα ἀφελόντες τῶν κᾱ β′, ἕξομεν καὶ τὴν ἐν αὐτῇ τῇ ἀρχῇ τοῦ σκορπίου μεγίστην τοῦ ἀκριβοῦς ἡλίου διάστασιν ἑσπερίαν, μοιρῶν κ̄ νη′.

Ἐξῆς δὲ καὶ τῆς ἐν ἀρχῇ τοῦ ταύρου μεγίστης ἑῴας διαστάσεως ἕνεκεν, ὑποκείσθω πρῶτον ἡ μέση κατὰ μῆκος παρόδος ἀπέχουσα εἰς τὰ ἑπόμενα τοῦ περιγείου μοίρας λθ̄· ὥστε καὶ τὸν μὲν μέσον ἥλιον ἐπέχειν τοῦ ταύρου μοίρας ιθ̄, τὸν δ' ἀκριβῆ ιθ̄ λη′, καὶ ἐκκείσθω ὁμοία καταγραφή, τοῦ μὲν ἐπικύκλου εἰς τὰ ἑπόμενα τοῦ περιγείου ἐσχηματισμένου, τῆς δ' ἐφαπτομένης ἐπὶ τὰ ἑῷα τῶ ἐπικύκλου διηγμένης. Ἐπεὶ τοίνυν κατὰ τὴν ἐκκειμένην πάροδον, τουτέστι τῆς ὑπὸ ΔΒΖ γωνίας ὑποκειμένης τοιούτων λθ̄, οἵων εἰσὶν αἱ τέσσαρες ὀρθαὶ τξ, δείκνυται διὰ τῶν προεφωδευμένων, ἡ μὲν ὑπὸ ΔΓΕ γωνία τῶν αὐτῶν μ̄ νζ′, ἡ δὲ ΓΕ τοῦτότε ἀποσήματος τοιούτων νε̄ νθ′, οἵων ἐστὶν ἡ ΕΗ ἐκ τοῦ κέντρου τοῦ ἐπικύκλου

ceux dont 360 font quatre angles droits. C'est pourquoi l'angle entier AGH vaut 21^{d} 55′ de ces degrés. Quand donc l'astre sera sur 1^{d} 55′ du scorpion, sa plus grande distance au soleil vrai sera de 20^{d} 51′. Mais il a été prouvé que quand il sera sur les 29^{d} 2′ des serres, elle sera de 21^{d} 2′ loin du soleil vrai. Puis donc que la différence de ces lieux est 2^{d} 53′, et celle des plus grandes distances 0^{d} 11′, parcequ'aux 58 soixantièmes qui restent depuis le premier lieu jusqu'au commencement du scorpion, répondent 4′ environ ; si nous les retranchons de 21^{d} 2′, nous aurons pour la plus grande distance au soleil vrai, qui ait lieu le soir, dans les premiers points du scorpion, 20^{d} 58′.

Ensuite, pour la plus grande distance orientale, dans le commencement du taureau ; supposons d'abord la moyenne de 39^{d} plus avancée en longitude que le périgée, desorte que le soleil moyen soit dans le 19e degré du taureau, et le soleil vrai dans le 19e degré 38′, l'épicycle étant représenté sur une figure pareille, dans les points suivants du périgée, et la tangente menée aux points orientaux de l'épicycle. Maintenant, puisque suivant le mouvement exposé, c'est-à-dire l'angle DBZ étant supposé de 39^{d} des degrés dont 360 font quatre angles droits, il est démontré par ce qui précède que l'angle DGE est de 40^{d} 57′, et que la droite GE de la distance alors est de 55^{p} 59′ des parties dont la droite EH menée du centre



de l'épicycle en cóntient 22p 30′. Si l'hypoténuse GE est de 120p, la droite EH en aura 48p 14′, et l'arc soutendu par cette droite, 47d 24′ des degrés dont le cercle circonscrit au rectangle GEH en contient 360. Ensorte que l'angle EGH est de 47d 24′ des degrés dont 360 font deux angles droits, et de 23d 42′ des degrés dont 360 font quatre angles droits. Et l'angle restant HGD (*h*) est de 17d 15′; donc l'astre de Mercure étant dans le 27e degré 15′ du bélier, le matin, sa plus grande distance au soleil vrai étoit de 22d 23′.



Supposons-le, maintenant, dans sa longitude moyenne, à une distance de 42d vers les mêmes points suivants du périgée, ensorte que le soleil par son mouvement moyen soit sur le 22e degré du taureau, et par son mouvement vrai, sur les 22d 31′. Puisque suivant ce mouvement, c'est-à-dire l'angle DBZ étant supposé de 42d des degrés dont 360 font quatre angles droits, l'angle DGE est démontré en valoir 44d 4′, et la droite GE de la distance qui a lieu alors, 55d 50′ des degrés dont EH menée du centre de l'épicycle en a 22d 30′: l'hypoténuse EG étant de 120d, la droite EH en aura 48 19′, et l'arc soutendu par cette droite sera de 47d 30′ des degrés dont le cercle circonscrit au rectangle GEH en contient 360. De sorte que l'angle EGH est de 47d 30′ des degrés dont 360 font deux angles droits, et de 23d 45′ des degrés dont 360 font quatre angles droits, et l'angle HGD en vaut 20d 19′. Donc quand l'astre

κβ̄ λ′, εἴη ἂν κῆ οἵων ἐστὶν ἡ ΓΕ ὑποτείνουσα ρκ̄, τοιούτων κῆ ἡ μὲν ΕΗ εὐθεῖα μη̄ ιδ′, ἡ δ' ἐπ' αὐτῆς περιφέρεια τοιούτων μζ̄ κδ′, οἵων ἐστὶν ὁ περὶ τὸ ΓΕΗ ὀρθογώνιον κύκλος τξ̄· ὥστε καὶ ἡ μὲν ὑπὸ ΕΓΗ γωνία, οἵων μέν εἰσιν αἱ δύο ὀρθαὶ τξ̄, τοιῶτων ἐστὶ μζ̄ κδ′, οἵων δ' αἱ τέσσαρες ὀρθαὶ τξ̄, τοιῶτων κγ̄ μβ′, λοιπὴ δὲ ἡ ὑπὸ ΗΓΔ τῶν αὐτῶν ιζ̄ ιε′· καὶ ὁ τοῦ Ερμοῦ ἄρα ἀστὴρ ἐπέχων κριοῦ μοίρας κζ̄ ιε′, τὸ πλεῖσον ἑῷος ἀφέξει τοῦ ἀκριβοῦς ἡλίου μοίρας κβ̄ κγ′.

Πάλιν ὑποκείσθω κατὰ τὸ μέσον μῆκος ἀπέχων ἐπὶ τὰ αὐτὰ τοῦ περιγείου μοίρας μβ̄, ὥστε καὶ τὸν ἥλιον μέσως μὲν ἐπέχειν ταύρου μοίρας κβ̄, ἀκριβῶς δὲ κβ̄ λα′. Επεὶ οὖν καὶ κατὰ ταύτην τὴν πάροδον, τουτέστι τῆς ὑπὸ ΔΒΖ γωνίας ὑποκειμένης τοιούτων μβ̄, οἵων εἰσὶν αἱ τέσσαρες ὀρθαὶ τξ̄, ἡ μὲν ὑπὸ ΔΓΕ γωνία δείκνυται τῶν αὐτῶν μδ̄ δ′, ἡ δὲ ΓΕ εὐθεῖα τοῦ τότε ἀποσήματος τοιούτων νε̄ ν′, οἵων ἐστὶν ἡ ΕΗ ἐκ τοῦ κέντρου τοῦ ἐπικύκλου κβ̄ λ′· εἴη ἄν, καὶ οἵων ἐστὶν ἡ ΕΓ ὑποτείνουσα ρκ̄, τοιούτων καὶ ἡ μὲν ΕΗ εὐθεῖα μη̄ ιθ′, ἡ δ' ἐπ' αὐτῆς περιφέρεια τοιούτων μζ̄ λ′, οἵων ἐστὶν ὁ περὶ τὸ ΓΕΗ ὀρθογώνιον κύκλος τξ̄· ὥστε κῆ ἡ μὲν ὑπὸ ΕΓΗ γωνία, οἵων μέν εἰσιν αἱ δύο ὀρθαὶ τξ̄, τοιούτων ἐστὶ μζ̄ λ′, οἵων δὲ αἱ τέσσαρες ὀρθαὶ τξ̄, τοιούτων κγ̄ με′, λοιπὴ δὲ ἡ ὑπὸ ΗΓΔ τῶν αὐτῶν κ̄ ιθ′. Οταν ἄρα ὁ τοῦ

Ερμοῦ ἀστὴρ ἐπέχῃ ταύρου τῆς πρώτης μοίρας ἑξηκοστὰ ιθ̄, τὸ πλεῖστον ἀφέξει τοῦ ἀκριβοῦς ἡλίου εἰς τὰ ἑῷα μοίρας κβ̄ ιβ′.

Εδείχθη δ' ὅτι καὶ ὅταν ἐπέχῃ κριοῦ μοίρας κζ̄ ιε′, τὸ πλεῖστον ὁμοίως ἀφέξει μοίρας κβ̄ κγ′. Επεὶ οὖν πάλιν τῶν μὲν ἐποχῶν ἡ ὑπεροχὴ μοιρῶν ἐστι γ̄ δ′, τῶν δὲ μεγίστων διαστάσεων ἑξηκοστῶν ια′, ὡς κὰ ταῖς ἀπὸ τῆς πρώτης ἐποχῆς ἐπὶ τὴν ἀρχὴν τοῦ ταύρου μοίραις β̄ με′ ἐπιβάλλειν ἑξηκοστὰ ῑ ἐγγισα, ταῦτα ἀφελόντες τῶν κβ̄ κγ′, ἕξομεν καὶ τὴν ἐν αὐτῇ τῇ ἀρχῇ τοῦ ταύρου μεγίστην ἑῴαν ἀπὸ τοῦ ἀκριβοῦς ἡλίου διάστασιν μοιρῶν κβ̄ ιγ′, ἅπερ προέκειτο εὑρεῖν.

Κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ τὰς ἐπὶ τῶν ἄλλων δωδεκατημορίων συναγομένας μεγίστας ἀποστάσεις ἑῴους τε καὶ ἑσπερίας ἀμφοτέρων τῶν ἀστέρων ἐπιλογισάμενοι, ἐτάξαμεν αὐτῶν κανόνιον, ἐπὶ στίχους μὲν τοὺς ἰσαρίθμους ιβ̄, σελίδια δὲ ε̄· τούτων δὲ ἐν μὲν τῷ πρώτῳ σελιδίῳ, προετάξαμεν τὰς ἀρχὰς τῶν δωδεκατημορίων ἀπὸ κριοῦ ποιησάμενοι τὴν ἀρχήν. Εν δὲ τοῖς ἑφεξῆς τέταρσι παρεθήκαμεν τὰς ἐπιλελογισμένας μεγίστας ἀπὸ τοῦ ἀκριβοῦς ἡλίου διαστάσεις, τοῦ μὲν δευτέρου περιέχοντος τὰς ἑῴους τῷ τῆς Αφροδίτης ἀστέρος, τῷ δὲ τρίτου τὰς ἑσπερίας. Καὶ πάλιν τῷ μὲν τετάρτῳ τὰς ἑῴους τῷ τῷ Ερμῷ, τῷδε πέμπτου τὰς ἑσπερίας. Καὶ ἔστι τὸ κανόνιον τοιοῦτον.

de Mercure sera dans les 19′ du premier degré du taureau, sa plus grande distance au soleil vrai vers les points suivants, le matin, sera de 22^{d} 12′.

Mais on a montré qu'étant sur les 27^{d} 15′ du bélier, il sera dans sa plus grande distance à 22^{d} 23′ du ☉. Puis donc que la différence des lieux est de 3^{d} 4′, et celle des plus grandes distances, de 11′; comme aux 2^{d} 45′ depuis le premier lieu jusqu'au commencement du taureau, répondoient environ 10 soixantièmes, en les retranchant de 22^{d} 23′, nous aurons au commencement du taureau la plus grande distance, le matin, depuis le soleil vrai, de 22^{d} 13′, c'est ce que je voulois trouver.

Après avoir calculé de la même manière pour ces deux astres, leurs plus grandes distances, tant celles du matin, que celles du soir, sur les autres dodécatemories du zodiaque, nous en avons dressé une table de 12 lignes, nombre des divisions de ce cercle, et sur 5 colonnes, dans la 1re desquelles nous avons placé les commencements de ces douxièmes divisions, en commençant par le bélier. Dans les quatre colonnes suivantes, nous avons mis les plus grandes distances calculées depuis le soleil vrai. La seconde colonne contenant celles du matin pour Vénus, et la troisième, celles du soir, la quatrième contenant celles du matin pour Mercure, et la cinquième celles qu'il a au soir. Voici maintenant cette Table.

TABLE DES PLUS GRANDES DISTANCES AU SOLEIL VRAI.								ΜΕΓΙΣΤΑΙ ΑΠΟΣΤΑΣΕΙΣ ΠΡΟΣ ΤΟΝ ΑΚΡΙΒΗ ΗΛΙΟΝ.							
PREMIERS POINTS DES DOUZIÈMES DIVISIONS DU ZODIAQUE.	VÉNUS.				MERCURE.			ΔωδεκατημοριωνΑρχαι.	ΑΦΡΟΔΙΤΗΣ.				ΕΡΜΟΥ.			
	Le matin.		Le soir.		Le matin.		Le soir.		Εῶοι.		Εσπέριοι.		Εῶοι.		Εσπέριοι.	
1.	2.		3.		4.		5.	α.	β.		γ.		δ.		ε.	
Bélier.	45	14	46	22	24	14	19	36	Κριοῦ.	με	ιϑ	μς	χβ	κϑ	ιϑ	ιϑ	λς
Taureau.	45	17	45	31	22	13	21	7	Ταύρου.	με	ιζ	με	λα	κβ	ιγ	κα	ζ
Gémeaux.	45	34	44	49	20	18	23	41	Διδύμων.	με	λϑ	μϑ	μϑ	κ	ιη	κγ	μα
Cancer.	45	56	44	25	18	17	26	16	Καρκίνου.	με	νς	μϑ	κε	ιη	ιζ	κς	ις
Lion.	46	20	44	31	16	35	27	37	Λέοντος.	μς	κ	μϑ	λα	ις	λϐ	κζ	λζ
Vierge.	46	38	44	55	16	8	26	17	Παρθένου.	μς	λη	μϑ	νε	ις	η	κς	ιζ
Serres.	46	45	45	41	17	46	23	31	Ζυγοῦ.	μς	με	με	μα	ιζ	μς	κγ	λα
Scorpion.	46	47	46	30	21	32	20	58	Σκορπίου.	μς	μζ	μς	λ	κα	λβ	κ	νη
Sagittaire.	46	1	47	18	26	9	19	28	Τοξότου.	μς	α	μζ	ιγ	κς	ϑ	ιϑ	κη
Capricorne.	46	7	47	35	28	37	19	14	Αἰγοκέρωτ.	μς	ζ	μζ	λε	κη	λζ	ιϑ	ιϑ
Verseau.	45	41	47	34	28	17	18	61	Ὑδροχόου.	με	μα	μζ	λϑ	κη	ιζ	ιη	να
Poissons.	45	20	47	7	26	24	19	0	Ἰχθύων.	με	κ	μζ	ζ	κς	κϑ	ιϑ	ο

FIN DU LIVRE DOUZIÈME DE LA COMPOSITION MATHÉMATIQUE DE CL. PTOLÉMÉE.

ΚΛΑΥΔΙΟΥ ΠΤΟΛΕΜΑΙΟΥ ΜΑΘΗΜΑΤΙΚΗΣ ΣΥΝΤΑΞΕΩΣ ΤΟΥ ΙΒ ΒΙΒΛΙΟΥ ΤΕΛΟΣ.

ΚΛΑΥΔΙΟΥ ΠΤΟΛΕΜΑΙΟΥ

ΜΑΘΗΜΑΤΙΚΗΣ ΣΥΝΤΑΞΕΩΣ

ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

TREIZIÈME LIVRE

DE LA COMPOSITION MATHÉMATIQUE

DE CLAUDE PTOLÉMÉE.

ΚΕΦΑΛΑΙΟΝ Α.

ΠΕΡΙ ΤΩΝ ΕΙΣ ΤΑΣ ΚΑΤΑ ΠΛΑΤΟΣ ΠΑΡΟΔΟΥΣ ΤΩΝ Ε̄ ΠΛΑΝΩΜΕΝΩΝ ΥΠΟΘΕΣΕΩΝ.

Ὑπολειπομένων δ' εἰς τὴν περὶ τῶν πέντε πλανωμένων σύνταξιν ἔτι δύο τούτων, τῆς τε κατὰ πλάτος αὐτῶν γινομένης πρὸς τὸν διὰ μέσων τῶν ζωδίων κύκλον παρόδου, καὶ τῆς περὶ τὰς ἀποστάσεις τῶν πρὸς τὸν ἥλιον φάσεων καὶ κρύψεων πραγματείας, προδιαληφθῆναι δ' ὀφειλουσῶν καὶ ἐνταῦθα τῶν πλατικῶν ἑκάστου διαστάσεων, ἐπειδὴ καὶ παρὰ τοῦτο γίνονταί τινες ἀξιόλογοι περὶ τὰς φάσεις καὶ κρύψεις διαφοραὶ, προεκθησόμεθα πρῶτον πάλιν ὅσα κοινῇ περὶ τὰς τῶν κύκλων αὐτῶν ἐγκλίσεις ὑποτιθέμεθα. Ενεκεν μὲν τοίνυν τοῦ διπλῆν φαίνεσθαι ποιούμενον ἕκαστον καὶ τὴν κατὰ πλάτος διαφορὰν, ὥσπερ καὶ τὴν κατὰ μῆκος

CHAPITRE I.

DES HYPOTHÈSES SUR LES ÉCARTS DES CINQ PLANÈTES EN LATITUDE.

Comme il ne reste plus, pour achever ce qui concerne les cinq planètes, qu'à parler de deux choses, savoir, de leur écart en latitude, par rapport au cercle mitoyen du zodiaque, et de leur éloignement du soleil dans leurs apparitions et leurs occultations ou disparitions, les latitudes devant être traitées les premières parcequ'elles produisent des effets sensibles et différents sur les apparitions et les disparitions, nous répéterons d'abord les propriétés que nous avons déjà dit être communes aux inclinaisons de leurs orbites. Comme chaque planète paroît avoir une double différence en latitude, ainsi que l'anomalie en longitude,

l'une relativement aux portions du zodiaque à cause du cercle excentrique, l'autre relativement au soleil à cause de l'épicycle, nous supposons, pour toutes les planètes, l'excentrique incliné sur le plan du cercle milieu du zodiaque, et l'épicycle incliné sur le plan de l'excentrique; de telles inclinaisons ne causant, comme nous l'avons dit, et comme nous le prouverons encore, aucun changement dans la longitude ni dans les démonstrations des anomalies. Mais parceque, d'après les observations particulières de chaque planète, quand le nombre de la longitude corrigée et celui de l'anomalie corrigée sont également éloignés l'un et l'autre, d'environ un quart de cercle, l'un de la limite boréale ou méridionale de l'excentrique, l'autre, de l'apogée de la planète, les astres paroissent dans le plan de l'écliptique, nous avons supposé que leur inclinaison est l'angle formé sur le plan et au centre du zodiaque par leurs diamètres qui passent par ces deux limites, et que l'inclinaison de l'épicycle est l'angle formé par la ligne menée au centre de l'épicycle et celle qui passe par les points de l'apogée et du périgée.

En outre, nous avons observé dans les trois planètes, Saturne, Jupiter, et Mars, que quand leurs mouvements en longitude, ou digressions, se font dans le segment le plus apogée de l'excentrique, ces astres paroissent toujours plus boréaux que l'écliptique, et qu'entre toutes les

ἀνωμαλίαν, τὴν μὲν πρὸς τὰ μέρη τοῦ ζωδιακοῦ παρὰ τὸν ἔκκεντρον κύκλον, τὴν δὲ πρὸς τὸν ἥλιον καὶ παρὰ τὸν ἐπίκυκλον, ἐγκεκλιμένους ἐπὶ πάντων ὑποτιθέμεθα τόν τε ἔκκεντρον πρὸς τὸ τοῦ διὰ μέσων ἐπίπεδον, καὶ τὸν ἐπίκυκλον πρὸς τὸ τοῦ ἐκκέντρου, μηδεμιᾶς ὡς ἔφαμεν διὰ τοῦτο γινομένης ἀξιολόγου παραλλαγῆς περὶ τὴν κατὰ μῆκος πάροδον, ἢ τὰς ἀποδείξεις τῶν ἀνωμαλιῶν, μέχρι γε τῶν τηλικούτων ἐγκλίσεων, ὡς ἐν τοῖς ἐφεξῆς παρασήσομεν. Ενεκεν δὲ τοῦ διὰ τῶν κατὰ μέρος παρατηρήσεων καθ' ἕκαστον αὐτῶν, ὅταν ὅ τε του διευκρινημένου μήκους καὶ ὁ τῆς διευκρινημένης ἀνωμαλίας ἀριθμὸς ἑκάτερος ἅμα τεταρτημόριον ἔγγισα ἀπέχῃ, ὁ μὲν τοῦ βορείου ἢ νοτίου πέρατος τοῦ ἐκκέντρου, ὁ δὲ τοῦ οἰκείου ἀπογείου, κατ' αὐταῦ τοῦ περὶ τὸν διὰ μέσων ἐπιπέδου φαίνεσθαι τοὺς ἀστέρας, τάς τε τῶν ἐκκέντρων ἐγκλίσεις περὶ τὸ τοῦ ζωδιακοῦ κέντρον, ὥσπερ καὶ ἐπὶ τῆς σελήνης, καὶ πρὸς τὰς διὰ τῶν βορείων ἢ νοτίων περάτων διαμέτρους, ὑποτιθέμεθα καὶ τὰς τῶν ἐπικύκλων πρὸς τὰς ἐπὶ τὸ κέντρον τοῦ ζωδιακοῦ νευούσας αὐτῶν διαμέτρους, ἐφ' ὧν τὰ φαινόμενα ἀπόγειά τε καὶ περίγεια θεωρεῖται.

Πάλιν δὲ ἐπὶ μὲν τῶν τριῶν πλανωμένων, Κρόνου τε καὶ Διὸς καὶ Αρεως, παρετηρήσαμεν ὅτι, ὅταν μὲν περὶ τὸ ἀπογειότερον τμῆμα τοῦ ἐκκέντρου τυγχάνωσιν αἱ κατὰ μῆκος αὐτῶν πάροδοι, βορειότεροι τὸ πλεῖσον αἰεὶ τοῦ διὰ μέσων φαίνονται, καὶ τῷ πλείῳ τότε βορειότεροι κατὰ

τὰς ἐν τοῖς περιγείοις τῶν ἐπικύκλων παρόδους, τῶν ἐν τοῖς ἀπογείοις· ὅταν δὲ περὶ τὸ περιγειότερον τμῆμα τοῦ ἐκκέντρου τυγχάνωσιν αἱ κατὰ μῆκος αὐτῶν πάροδοι, κατὰ τὴν ἐναντίαν τάξιν, νοτιώτεραι φαίνονται τοῦ διὰ μέσων· καὶ ὅτι τὰ βορειότατα πέρατα τῶν ἐκκέντρων, ἐπὶ μὲν τοῦ τοῦ Κρόνου καὶ τοῦ τοῦ Διὸς, περὶ τὰς ἀρχάς ἐσι τοῦ τῶν χηλῶν δωδεκατημορίου, ἐπὶ δὲ τοῦ τοῦ Αρεως περὶ τὰ τελευταῖα τοῦ καρκίνου, καὶ σχεδὸν περὶ αὐτὸ τὸ ἀπογειότατον. Ωσε ἐκ τούτων συνάγεσθαι, διότι τῶν μὲν ἐκκέντρων αὐτῶν τὰ μὲν κατὰ τῶν εἰρημένων μερῶν τοῦ ζωδιακοῦ πρὸς τὰς ἄρκτους ἐγκέκλιται, τὰ δὲ διάμετρα τῷ ἴσῳ πρὸς μεσημβρίαν, τῶν δὲ ἐπικύκλων ἀεὶ τὰ περίγεια, ἐπὶ τὰ αὐτὰ τῇ τῶν ἐκκέντρων ἐγκλίσει, τῶν πρὸς ὀρθὰς γωνίας διαμέτρων ταῖς διὰ τῶν ἀπογείων αὐτῶν παραλλήλων πάντοτε μενουσῶν τῷ τοῦ διὰ μέσων ἐπιπέδῳ. Επὶ δὲ Αφροδίτης καὶ Ερμοῦ παρετηρήσαμεν ὅτι, ὅταν μὲν κατὰ τῶν ἀπογείων ἢ περιγείων τοῦ ἐκκέντρου τυγχάνωσιν αἱ κατὰ μῆκος αὐτῶν πάροδοι, τότε αἱ μὲν κατὰ τὰ περίγεια τῶν ἐπικύκλων κινήσεις οὐδενὶ κατὰ πλάτος διαφέρουσι τῶν κατὰ τὰ ἀπόγεια, ἀλλὰ ὁμοίως ἤτοι βορειότεραι τοῦ διὰ μέσων εἰσὶν ἢ νοτιώτεραι, ἐπὶ μὲν Αφροδίτης πάντοτε βορειότεραι, ἐπὶ δὲ Ερμοῦ τὸ ἐναντίον πάντοτε νοτιώτεραι.

Αἱ δὲ κατὰ τὰς μεγίσας ἀποσάσεις αὐτῶν πάροδοι, ἀλλήλων μὲν τῷ πλείσῳ διαφέρουσι, τουτέσιν αἱ ἑῷοι τῶν ἑσπερίων. Τῶν δὲ κατὰ τὰ ἀπόγεια καὶ περίγεια

latitudes boréales; celles des périgées des épicycles, le sont plus que celles des apogées. Mais quand leurs digressions se font dans le segment le plus périgée de l'excentrique, ces astres paroissent au contraire plus méridionaux que l'écliptique ou cercle milieu du zodiaque, parceque les extrémités ou limites les plus boréales des excentriques, pour Saturne et Jupiter, sont au commencement du signe des serres, et pour Mars, à la fin du cancer, et presque dans le point le plus apogée. D'où l'on conclut que les points de ces excentriques, qui sont dans ces mêmes portions du zodiaque, déclinent vers les ourses, et les points qui leur sont diamétralement opposés, déclinent également vers le midi, et que les périgées des épicycles sont dans le même sens que l'inclinaison des excentriques, les diamètres situés à angles droits sur ceux qui passent par leurs apogées, restant toujours parallèles au plan du cercle milieu du zodiaque. Quant à Vénus et Mercure, nous avons observé que quand leurs digressions arrivent dans le périgée ou l'apogée de l'excentrique, lorsque la planète se trouve dans l'apogée ou le périgée de l'épicycle, il n'en résulte aucune différence pour la latitude, mais que cette latitude écarte également la planète de l'écliptique, soit au septentrion, soit au midi, c'est-à-dire toujours au septentrion pour Vénus, et au midi pour Mercure (*a*).

Mais les latitudes dans les digressions, peuvent être différentes : ce qui se remarquera surtout dans les digressions du matin, comparées à celles du soir. Dans cette

comparaison, si l'on combine deux digressions, l'une dans l'apogée et l'autre dans le périgée des épicycles, on trouvera encore que la digression du matin et celle du soir qui la suit, donneront des latitudes boréales pour Vénus dans l'apogée, et australes dans le périgée. C'est le contraire pour Mercure, qui sera austral dans l'apogée, et boréal dans le périgée. Si les digressions ont lieu dans le nœud, alors les digressions observées à 90^{d} de part et d'autre des apogées et des perigées des épicycles, seront toutes deux dans l'écliptique. Mais les digressions périgées différeront sensiblement des digressions apogées : Vénus sera portée au midi, tant qu'elle sera dans le demi-cercle soustractif ; elle sera portée vers les ourses dans l'autre demi-cercle. Au contraire, Mercure sera porté vers les ourses dans le demi-cercle soustractif, et vers le midi dans le demi-cercle opposé. D'où l'on déduit que les inclinaisons des excentriques sont variables et se rétablissent suivant les périodes des épicycles ; que dans les nœuds, ces inclinaisons sont nulles, étant dans le plan de l'écliptique, mais que dans l'apogée et le périgée, les inclinaisons ont toutes les différences dont elles sont susceptibles ; qu'elles rendent l'épicycle de Vénus plus boréal, et celui de Mercure plus austral. Les épicycles produisent donc des différences de deux

τῶν ἐπικύκλων, τουτέστι τῆς παρὰ τὸν ἔκκεντρον διαφορᾶς εἰς τὰ ἐναντία τῷ ἴσῳ πάλιν τῆς ἑπομένης καὶ ἑσπερίου μεγίστης ἀποσάσεως, ἐπὶ μὲν τοῦ τῆς Αφροδίτης κατὰ τὸ ἀπόγειον τοῦ ἐκκέντρου βορειοτέρας γινομένης, καὶ κατὰ τὸ περίγειον νοτιωτέρας, ἐπὶ δὲ Ερμοῦ τὸ ἐναντίον κατὰ τὸ ἀπόγειον νοτιωτέρας, καὶ κατὰ τὸ περίγειον βορειοτέρας. Οταν δὲ κατὰ τῶν συνδέσμων ὦσιν αἱ κατὰ μῆκος αὐτῶν διευκρινημέναι πάροδοι, τότε αἱ μὲν ἐφ' ἑκάτερα τῶν ἐπικύκλων ἀπὸ τῶν ἀπογείων ἢ περιγείων τεταρτημοριαῖαι διασάσεις, ἐν τῷ τοῦ διὰ μέσων ἐπιπέδῳ τυγχάνουσιν ἀμφότεραι· αἱ δὲ κατὰ τῶν περιγείων πάροδοι τῷ πλείσῳ διαφέρουσι τῶν κατὰ τὰ ἀπόγεια. Καὶ ἐπὶ μὲν τοῦ τῆς Αφροδίτης ποιοῦνται τὴν ἔγκλισιν ἐπὶ μὲν τοῦ κατὰ τὸ ἀφαιρετικὸν ἡμικύκλιον συνδέσμου πρὸς μεσημβρίαν, ἐπὶ δὲ τῷ ἐναντίῳ πρὸς τὰς ἄρκτους· ἐπὶ δὲ τοῦ τοῦ Ερμοῦ πάλιν τὸ ἐναντίον, ἐπὶ μὲν τοῦ κατὰ τὸ ἀφαιρετικὸν ἡμικύκλιον συνδέσμου πρὸς ἄρκτους, ἐπὶ δὲ τοῦ ἐναντίου πρὸς μεσημβρίαν. Ωστε καὶ ἐκ τούτου συνάγεσθαι διότι αἱ μὲν τῶν ἐκκέντρων ἐγκλίσεις κινούμεναι καὶ αὐταὶ συναποκαθίστανται ταῖς περιόδοις τῶν ἐπικύκλων, περὶ μὲν τοὺς συνδέσμους ὄντων αὐτῶν, ἐν τῷ αὐτῷ ἐπιπέδῳ γινόμεναι τῷ διὰ μέσων, περὶ δὲ τὰ ἀπόγεια καὶ περίγεια τῷ πλείσῳ, ἐπὶ μὲν τοῦ τῆς Αφροδίτης βορειότερον ποιοῦσαι τὸν ἐπίκυκλον, ἐπὶ δὲ τοῦ τοῦ Ερμοῦ νοτιώτερον. Οἱ δ' ἐπίκυκλοι δύο ποιοῦνται διαφοράς, τὰς μὲν διὰ τῶν

φαινομένων ἀπογείων διαμέτρους τὸ πλεῖσον ἐγκλίνοντες κατὰ τοὺς συνδέσμους τῶν ἐκκέντρων, τὰς δὲ πρὸς ὀρθὰς ταύταις τὸ πλεῖσον λοξοῦντες, τούτῳ γὰρ ἡμῖν τῷ ὀνόματι ἡ τοιαύτη κλίσις διακεκρίσθω κατὰ τὰ ἀπόγεια καὶ τὰ περίγεια τῶν ἐκκέντρων· τὸ δ' ἐναντίον, ἐκείνας μὲν ἐν τῷ ἐπιπέδῳ τοῦ ἐκκέντρου ποιοῦντες κατὰ τὰ ἀπόγεια αὐτοῦ καὶ τὰ περίγεια, ταύτας δ' ἐν τῷ ἐπιπέδῳ τοῦ διὰ μέσων κατὰ τοὺς εἰρημένους συνδέσμους.

sortes : dans les nœuds des excentriques, ils augmentent l'inclinaison des diamètres apogées apparents ; mais dans les périgées des excentriques, ils donnent une certaine obliquité (c'est le nom par lequel nous distinguerons cette position penchée) aux diamètres perpendiculaires sur celui qui passe par les apogées et les périgées; au contraire, ils ramènent ceux-là dans le plan de l'excentrique, lorsque la planète est dans le périgée ou l'apogée de l'excentrique, et ceux-ci dans le plan de zodiaque, quand elle est dans les nœuds dont nous avons parlé.

ΚΕΦΑΛΑΙΟΝ Β.

ΠΕΡΙ ΤΟΥ ΤΡΟΠΟΥ ΤΗΣ ΚΙΝΗΣΕΩΣ ΤΩΝ ΚΑΤΑ ΤΑΣ ΥΠΟΘΕΣΕΙΣ ΕΓΚΛΙΣΕΩΝ ΚΑΙ ΛΟΞΩΣΕΩΝ.

CHAPITRE II.

DU MODE DE MOUVEMENT DES INCLINAISONS ET DES OBLIQUITÉS SUIVANT NOS HYPOTHÈSES.

Συναγεται δὴ τὸ καθόλου τῶν ὑποθέσεων τοιοῦτον, ὅτι οἱ μὲν ἔκκεντροι κύκλοι τῶν πέντε πλανωμένων ἐγκεκλιμένοι τυγχάνουσι πρὸς τὸ τοῦ διὰ μέσων ἐπίπεδον, περὶ τὸ κέντρον τοῦ ζωδιακοῦ. Αλλ' ἐπὶ μὲν τῶν τριῶν Κρόνου καὶ Διὸς καὶ Αρεως μονίμως· ὥστε τὰς κατὰ διάμετρον παρόδους τῶν ἐπικύκλων εἰς τὰ ἐναντία φέρεσθαι τοῦ πλάτους. Επὶ δ' Αφροδίτης καὶ Ερμοῦ συμμεθισάμενοι τοῖς ἐπικύκλοις ἐπὶ τὸ αὐτὸ πλάτος, ἐπὶ μὲν Αφροδίτης ἀεὶ πρὸς ἄρκτους, ἐπὶ δὲ Ερμοῦ πρὸς μεσημβρίαν.

En résumé général, suivant les hypothèses, les cercles excentriques des cinq planètes se trouvent inclinés sur le plan du cercle milieu du zodiaque autour du centre du zodiaque, et cette inclinaison est constante dans Saturne, Jupiter et Mars, ensorte que les positions diamétralement opposées des épicycles, ont des latitudes contraires. Mais pour Mercure et Vénus, les effets changent avec le mouvement des épicycles, et portent toujours la planète vers la même latitude, Vénus vers les ourses, et Mercure vers le midi.

Τῶν δ' ἐπικύκλων αἱ μὲν διὰ τῶν φαινομένων ἀπογείων διάμετροι, ἀπό τινος ἀρχῆς ἐν τῷ ἐπιπέδῳ τοῦ ἐκκέντρου γενόμεναι παραφέρονται ὑπὸ κυκλίσκων παρακειμένων φέρ' εἰπεῖν τοῖς περιγείοις αὐτῶν πέρασι, συμμέτρων μὲν τῇ τηλικαύτῃ

Les diamètres apogées des épicycles qui, à certain point de départ, étoient dans le plan de l'excentrique, sont transportés par de petits cercles fixés, pour ainsi dire, à leurs extrémités périgées, et d'un rayon propre à représenter les inégalités observées

dans les latitudes. Mais ces petits cercles sont perpendiculaires aux plans des excentriques; ils ont leurs centres dans ces plans; ils tournent d'un mouvement uniforme qui suit le mouvement en longitude. Depuis l'une des intersections des plans par les épicycles, ils portent la planète vers les ourses, par exemple; ils entraînent avec eux les plans des épicycles vers la limite boréale, dans le premier quart de leur révolution; dans le second quart, ils les ramènent vers le plan de l'excentrique. Dans le troisième quart il les entraînent vers la limite australe; enfin, dans le dernier quart, ils les ramènent au plan d'où ils sont partis. Le commencement et le terme de ce mouvement pour Saturne, Jupiter et Mars, est dans le nœud ascendant; pour Vénus, au périgée de l'excentrique; pour Mercure, à l'apogée. Les diamètres qui coupent à angles droits les diamètres apogées, et périgées, s'il s'agit des trois planètes que nous avons nommées les premières, demeurent constamment parallèles au plan de l'écliptique, où la variation est du moins insensible; pour Vénus et Mercure, les diamètres perpendiculaires après avoir été en un certain point dans le plan même de l'écliptique, en sont ensuite écartés par de petits cercles comme fixés à leurs extrémités les plus avancées en longitude et d'un rayon proportionel aux variations observées des latitudes. Ces petits cercles sont perpendiculaires au plan du zodiaque; ils ont leurs centres sur les diamètres

πρὸς τὸ πλάτος παραχωρήσει, ὀρθῶν δὲ πρὸς τὰ τῶν ἐκκέντρων ἐπίπεδα, καὶ τὰ κέντρα ἐχόντων ἐν αὐτοῖς, περισρεφομένων δ' ὁμαλῶς καὶ ἀκολούθως ταῖς κατὰ μῆκος παρόδοις, ἀπὸ τῆς ἑτέρας τῶν κατὰ τὰς τομὰς τῶν ἐπιπέδων αὐτῶν τε καὶ τῶν ἐπικύκλων ἀρχῆς, ὡς πρὸς τὰς ἄρκτους καθ' ὑπόθεσιν, καὶ συμπαραγόντων τὰ ἐπίπεδα τῶν ἐπικύκλων, κατὰ μὲν τὴν ἐπὶ τὸ πρῶτον τεταρτημόριον σροφὴν, ἐπὶ τὸ βορειότατον δηλονότι πέρας, κατὰ δὲ τὴν ἑξῆς ἐπὶ τὸ τοῦ ἐκκέντρου πάλιν ἐπίπεδον, κατὰ δὲ τὴν ἐπὶ τὸ τρίτον ἐπὶ τὸ νοτιώτατον πέρας, κατὰ δὲ τὴν ἐπὶ τὸ λεῖπον ἀποκατάσασιν ἐπὶ τὸ τῆς ἀρχῆς ἐπίπεδον, καὶ ὅτι ἡ τῆς τοιαύτης ἀφέσεως ἀρχή τε καὶ ἀποκατάσασις, ἐπὶ μὲν Κρόνου καὶ Διὸς καὶ Ἄρεως, ἀπὸ τῆς κατὰ τὸν ἀναβιβάζοντα σύνδεσμον τομῆς συνίσανται, ἐπὶ δὲ Ἀφροδίτης ἀπὸ τοῦ περιγείου τοῦ ἐκκέντρου, ἐπὶ δὲ Ἑρμοῦ ἀπὸ τοῦ ἀπογείου τοῦ ἐκκέντρου· αἱ δὲ πρὸς ὀρθὰς γωνίας διάμετροι ταῖς προειρημέναις, ἐπὶ μὲν τῶν τριῶν ἀσέρων μένουσιν ὡς ἔφαμεν ἀεὶ παράλληλοι τῷ τοῦ διὰ μέσων ἐπιπέδῳ, ἢ οὐδενί γε ἀξιολόγῳ πρὸς αὐτὸ λελοξωμέναι τυγχάνουσιν, ἐπὶ δὲ Ἑρμοῦ καὶ Ἀφροδίτης καὶ αὐταὶ γινόμεναι πάλιν ἀπό τινος ἀρχῆς, ἐν τῷ τοῦ διὰ μέσων ἐπιπέδῳ παραφέρονται ὑπὸ κυκλίσκων παρακειμένων τοῖς ἑπομένοις φέρ' εἰπεῖν αὐτῶν πέρασι, συμμέτρων μὲν πάλιν τῇ τηλικαύτῃ κατὰ πλάτος παραχωρήσει, ὀρθῶν δὲ πρὸς τὸ τοῦ διὰ μέσων ἐπίπεδον, καὶ τὰ κέντρα ἐχόντων ἐπὶ τῶν διαμέτρων τῶν

παραλλήλων τῷ τοῦ διὰ μέσων ἐπιπέδῳ, περιφερομένων δὲ ἰσοταχῶς τοῖς ἄλλοις ἀπὸ τῆς ἑτέρας τῶν κατὰ τὰς τομὰς τῶν ἐπιπέδων αὐτῶν τε καὶ τῶν ἐπικύκλων ἀρχῆς, ὡς πρὸς τὰς ἄρκτους πάλιν καθ' ὑπόθεσιν, καὶ συμπαραγόντων τὰ πρὸς ἑσπέραν πέρατα τῶν ἐκκειμένων διαμέτρων κατὰ τὴν αὐτὴν τάξιν δηλονότι τῇ προειρημένῃ. Καὶ ἔτι καὶ ἐπὶ τούτων ἡ τῆς ὁμοίας ἀφέσεως ἀρχή τε καὶ ἀποκατάστασις, ἐπὶ μὲν τῆς Αφροδίτης ἀπὸ τοῦ κατὰ τὸ προσθετικὸν ἡμικύκλιον συνδέσμου συνίσαται, ἐπὶ δὲ τοῦ τοῦ Ερμοῦ ἀπὸ τοῦ κατὰ τὸ ἀφαιρετικόν.

Δεῖ μέντοι, περὶ τῶν εἰρημένων κυκλίσκων, ὑφ' ὧν αἱ παραφοραὶ τῶν ἐπικύκλων ἀποτελοῦνται, τοῦτο προλαβεῖν· ὅτι διχοτομοῦνται μὲν ὑπὸ τῶν ἐκκεντρεπέδων καὶ αὐτοὶ, περὶ ἃ τὰς παραφορὰς τῶν ἐγκλίσεων γίγνεσθαι φαμέν· οὕτω γὰρ ἂν μόνως ἴσας τὰς ἐφ' ἑκάτερα κατὰ πλάτος αὐτῶν παρόδους συνίσασθαι συμβαίνει. Τὰς μέντοι πρὸς ὁμαλὴν κίνησιν περιφορὰς οὐ περὶ τὸ ἴδιον κέντρον ἔχουσιν ἀποτελουμένας, περί τι δὲ ἕτερον τὸ ποιῆσον τὴν αὐτὴν ἐκκεντρότητα πρὸς τὸν κυκλίσκον τῇ κατὰ μῆκος τοῦ ἀστέρος πρὸς τὸν διὰ μέσων τῶν ζωδίων κύκλον. Τῶν γὰρ ἀποκαταστάσεων ἰσοχρονίων ὑποκειμένων ἐπί τε τοῦ ζωδιακοῦ καὶ τοῦ κυκλίσκου, καὶ ἔτι τῶν ἐν ἑκατέρῳ τεταρτημορίῳ παρόδων ἀλλήλαις κατὰ τὸ φαινόμενον ἐφαρμοζουσῶν, ἐὰν μὲν περὶ τὸ ἴδιον κέντρον ἡ περιφορὰ τοῦ κυκλίσκου γίνηται, τὸ προκείμενον ἀδαμῶς συμβήσεται, τῶν μὲν κατὰ τὸν κυκλίσκον παρόδων ἕκαστον τῶν

parallèles au plan de l'écliptique ; ils tournent avec la même vîtesse que les autres depuis l'une des intersections de leurs plans avec ceux des épicycles, vers les ourses, par exemple ; et entraînent avec eux les extrémités occidentales des diamètres auxquels ils sont fixés, suivant la marche exposée ci-dessus. Et enfin le point de départ et de restitution pour Vénus, est au nœud du demi-cercle additif; et pour Mercure, il est au nœud du demi-cercle soustractif.

Au sujet de ces petits cercles qui font ainsi varier la position des épicycles, il faut d'abord remarquer ce qui suit. Ils sont partagés en deux également par les plans sur lesquels nous disons que se fait la variation de l'inclinaison. C'est le seul moyen d'expliquer l'égalité de latitude dans les points opposés. Leurs mouvements uniformes ne s'accomplissent pas autour de leurs propres centres, mais autour d'un centre qui donne à ces petits cercles la même équation que celle de longitude de l'astre rapportée à l'écliptique. Car les restitutions étant isochrones sur le zodiaque et dans les petits cercles, les latitudes dans chacun des quarts de cercle sont égales entr'elles conformément aux phénomènes: ce qui ne pourroit être, si le mouvement se faisoit autour du centre des petits cercles, puisque les temps de chacun des quatre quarts seroient nécessairement égaux dans le petit cercle :

ce qui n'a pas lieu dans le zodiaque, à cause de l'excentricité particulière à chaque planète. Mais si nous prenons pour centre un point placé semblablement à celui de l'excentrique, les temps sur le zodiaque et dans le petit cercle s'accorderont parfaitement.

Qu'on n'objecte pas à ces hypothèses, qu'elles sont trop difficiles à saisir, à cause de la complication des moyens que nous employons. Car quelle comparaison pourroit-on faire des choses célestes aux terrestres, et par quels exemples pourroit-on représenter des choses si différentes? Et quel rapport peut-il y avoir entre la constance invariable et éternelle, et les changements continuels? ou quoi de plus différent des choses qui ne peuvent aucunement être altérées ni par elles-mêmes, ni par rien d'extérieur à elles, que celles qui sont sujettes à des variations qui proviennent de toutes sortes de causes? Il faut, autant qu'on le peut, adapter les hypothèses les plus simples aux mouvements célestes; mais si elles ne suffisent pas, il faut en choisir d'autres qui les expliquent mieux. Car si après avoir établi des suppositions, on en déduit aisément tous les phénomènes comme autant de conséquences, quelle raison aura-t-on de s'étonner d'une si grande complication dans les mouvements des corps célestes? En effet, il n'y a rien dans leur nature qui s'y oppose; mais tout les favorise, en se prêtant aux mouvements propres à chacun d'eux, quoiqu'en sens contraires; ensorte que tous peuvent s'exécuter et être vus dans la matière éthérée répandue partout. Et non-

τεταρτημορίων ἰσοχρονίως διερχομένων, τῶν δὲ πρὸς τὸν ζωδιακὸν τοῦ ἐκκύκλου θεωρουμένων, μηκέτι, διὰ τὴν καθ' ἕκαστον ὑποκειμένην ἐκκεντρότητα. Ἐὰν δὲ περὶ τὸ τῇ θέσει ὅμοιον πρὸς τοῦ ἐκκέντρου καὶ τῶν τεταρτημορίων τὰ ἐφαρμόζοντα τοῦ τε ζωδιακοῦ καὶ τοῦ κυκλίσκου, κατὰ τοὺς ἴσους χρόνους αἱ τῶν ἐγκλίσεων ἀποκαταστάσεις διελεύσονται.

Καὶ μηδεὶς τὰς τοιαύτας τῶν ὑποθέσεων ἐργώδεις νομισάτω, σκοπῶν τὸ τῶν παρ' ἡμῖν ἐπιτεχνημάτων κατασκελές. Οὐ γὰρ προσήκει παραβάλλειν τὰ ἀνθρώπινα τοῖς θεοῖς, οὐδὲ τὰς περὶ τῶν τηλικούτων πίστεις ἀπὸ τῶν ἀνομοιοτάτων παραδειγμάτων λαμβάνειν· τί γὰρ ἀνομοιότερον τῶν ἀεὶ καὶ ὡσαύτως ἐχόντων πρὸς τὰ μηδέποτε; καὶ τῶν ὑπὸ παντὸς ἂν κωλυθησομένων πρὸς τὰ μὴ δ' ὑφ' αὑτῶν; ἀλλὰ πειρᾶσθαι μὲν ὡς ἔνι μάλιστα τὰς ἁπλουστέρας τῶν ὑποθέσεων ἐφαρμόζειν ταῖς ἐν τῷ οὐρανῷ κινήσεσιν, εἰ δὲ μὴ τοῦτο προχωροίη, τὰς ἐνδεχομένας. Ἐὰν γὰρ ἅπαξ ἕκαστα τῶν φαινομένων κατὰ τὸ ἀκόλουθον τῶν ὑποθέσεων διασώζηται, τί ἂν ἔτι θαυμαστόν τισι δοκοίη τὸ δύνασθαι τὰς τοιαύτας συμπλοκὰς ταῖς τῶν οὐρανίων κινήσεσι συμβεβηκέναι, μηδεμιᾶς ὑπαρχούσης παρ' αὐτοῖς φύσεως κωλυτικῆς, ἀλλὰ συμμέτρου πρὸς τὸ εἴκειν καὶ παραχωρεῖν ταῖς κατὰ φύσιν ἑκάστων κινήσεσι, κἂν ἐναντίαι τυγχάνωσιν, ὡς πάντη διὰ πάντων ἁπλῶς τῶν χυμάτων καὶ διϊκνεῖσθαι καὶ διαφαίνεσθαι δύνασθαι, καὶ μὴ μόνον περὶ τοὺς

κατὰ μέρος κύκλους τὸ τοιοῦτον εὐοδεῖν, ἀλλὰ καὶ περὶ τας σφαίρας αὐτὰς καὶ τοὺς ἄξονας τῶν περιφορῶν.

Ων καὶ αὐτῶν τὴν ἐν ταῖς διαφόροις κινήσεσι συμπλοκὴν καὶ ἐπαλληλίαν ἐν μὲν ταῖς κατασκευαζομέναις παρ' ἡμῖν εἰκόσιν ὁρῶμεν ἐργώδη καὶ δυσπόριστον πρὸς τὸ τῶν κινήσεων ἀκώλυτον, ἐν δὲ τῷ οὐρανίῳ μηδαμῆ μηδαμῶς ὑπὸ τῆς τοιαύτης μίξεως ἐμποδιζομένην. Μᾶλλον δὲ καὶ αὐτὸ τὸ ἁπλοῦν τῶν οὐρανίων, οὐκ ἀπὸ τῶν παρ' ἡμῖν οὕτως ἔχειν δοκούντων προσήκει κρίνειν, ὁπότε μηδ' ἐφ' ἡμῶν τὸ αὐτὸ πᾶσιν ὁμοίως ἐστὶν ἁπλοῦν. Οὕτω γὰρ σκοποῦσιν οὐδὲν ἂν δόξειε τῶν κατὰ τὸν οὐρανὸν γινομένων ἁπλοῦν, οὐδ' αὐτὸ τὸ τῆς πρώτης φορᾶς ἀμετάτατον. Επειδὴ καὶ τοῦτο αὐτό, τὸ πάντα τὸν χρόνον ὡσαύτως ἔχον, ἐφ' ἡμῶν ἐστιν οὐ δύσκολον, ἀλλὰ καὶ παντάπασιν ἀδύνατον, ἀπὸ δὲ τῆς τῶν ἐν αὐτῷ τῷ οὐρανῷ φύσεων καὶ τῆς τῶν κινήσεων ἀμεταβλησίας. Οὕτω γὰρ ἂν πᾶσαι καταφανείησαν ἁπλαῖ καὶ μᾶλλον ἢ τὰ παρ' ἡμῖν οὕτως ἔχειν δοκοῦντα, μηδενὸς πόνου μη δὲ δυσχερείας τινὸς περὶ τὰς περιόδους αὐτῶν ὑπονοηθῆναι δυναμένων.

seulement tout cela marche de concert, sans empêchement, sur les orbites respectives, mais encore autour des sphères et des axes de révolutions.

A la vérité les complications et les relations de ces mouvements divers nous paroissent et difficiles à saisir dans les représentations figurées que nous en faisons, et difficiles à appliquer aux mouvements célestes; mais ces difficultés disparoissent quand on considère ces mouvements dans le ciel même où ils ne se présentent pas ainsi embarrassés les uns dans les autres. Il ne faut donc pas juger de la simplicité des choses célestes, par les choses familières qui nous paroissent simples; puisque celles-ci ne sont pas également simples pour tous les hommes. Autrement, on ne trouvera rien de simple dans ce qu'on voit au ciel, pas même l'immutabilité du premier mouvement. Comme il continue toujours de la même manière, il nous est, je ne dis pas dfficile, mais impossible de l'expliquer, si ce n'est par la constance des corps célestes et par celle de leurs mouvements. Alors tout nous y paroîtra simple, et beaucoup plus simple que ce qui nous paroît tel dans ce qui nous est familier, et nous ne trouverons plus d'embarras ni de difficulté à concevoir leurs mouvements et leurs révolutions.

ΚΕΦΑΛΑΙΟΝ Γ.

ΠΕΡΙ ΤΗΣ ΚΑΘ' ΕΚΑΣΤΗΝ ΤΩΝ ΕΓΚΛΙΣΕΩΝ ΠΗΛΙΚΟΤΗΤΟΣ.

Την μὲν οὖν καθόλου θέσιν καὶ τάξιν τῆς τῶν κύκλων ἐγκλίσεως ἀπὸ τούτων ἄν τις ἐπιλογίσαιτο. Τὰς δὲ κατὰ μέρος

CHAPITRE III.

DE LA GRANDEUR DE CHACUNE DES INCLINAISONS.

On peut, d'après cela, calculer la position et l'ordre de l'inclinaison des orbites. Mais les grandeurs particulières des arcs

qui mesurent les inclinaisons de chacun de ces cercles, se prennent sur le grand cercle perpendiculaire au plan de l'écliptique par les poles de laquelle il passe. Dans Vénus et Mercure, les écarts apparents en latitude suivant les positions données, présentent des arcs faciles à calculer; car quand leurs mouvements en longitude se font dans les apogées et les périgées des excentriques, ces astres se trouvant alors dans les périgées et dans les apogées des épicycles, paroissent également éloignés du cercle milieu du zodiaque, soit vers le septentrion, soit vers le midi, comme nous le disons d'après les observations faites vers ces points. Vénus est tout au plus d'un sixième de degré plus boréale, et Mercure toujours plus méridional d'une demie et d'un quart de degré; ensorte que les cercles excentriques de l'un et de l'autre sont inclinés d'autant. Dans leurs plus grandes élongations du soleil, tous deux paroissent de 5^d, valeur moyenne, plus boréaux ou plus austraux que les plus grandes distances opposées; car les latitudes de Vénus dans les points diamétralement opposés, diffèrent de 5^d environ, puisque pour Vénus on trouve à peine quelques minutes de moins à l'apogée qu'au périgée de l'excentrique, et pour Mercure, quelques minutes de plus, c'est-à-dire environ la moitié d'un degré. Ainsi les inclinaisons des épicycles, de part et d'autre des excentriques, par un milieu, soutendent environ $2^d \frac{1}{2}$ du cercle perpendiculaire au zodiaque;

ἐφ' ἑκάστου τῶν ἀστέρων πηλικότητας τῶν περιφερειῶν, ἃς αἱ ἐγκλίσεις ἀπολαμβάνουσι, τοῦ διὰ τῶν πόλων τοῦ ἐγκλινομένου καὶ ὀρθοῦ πρὸς τὸ τοῦ διὰ μέσων ἐπίπεδον γραφομένου μεγίστου κύκλου, πρὸς ὃν αἱ κατὰ πλάτος πάροδοι θεωροῦνται, ἐπὶ μὲν Ἀφροδίτης καὶ Ἑρμοῦ παρέχουσιν εὐεπιλογίστους αἱ φαινόμεναι κατὰ τὰς ἐκκειμένας θέσεις τοῦ πλάτους πάροδοι· ὅταν μὲν γὰρ κατὰ τὰ ἀπόγεια καὶ περίγεια τῶν ἐκκέντρων αἱ κατὰ μῆκος αὐτῶν ὦσι κινήσεις, περὶ μὲν τὰ περίγεια καὶ ἀπόγεια τῶν ἐπικύκλων παροδεύοντες οἱ ἀστέρες, ὡς ἔφαμεν, ἀπὸ τῶν πλησίον τηρήσεων τῆς ἐπιβολῆς ἡμῖν γινομένης, τῷ ἴσῳ βορειότεροι ἢ νοτιώτεροι φαίνονται τοῦ διὰ μέσων· ὁ μὲν τῆς Ἀφροδίτης ἔκτῳ που μάλιστα μιᾶς μοίρας ἀεὶ βορειότερος, ὁ δὲ τοῦ Ἑρμοῦ ἡμίσει καὶ τετάρτῳ μέρει ἀεὶ νοτιώτερος· ὡς ἐκ τούτων καὶ τὰς τῶν ἐκκέντρων κύκλων ἐγκλίσεις ἑκατέρου τηλικαύτας γίγνεσθαι. Περὶ δὲ τὰς μεγίστας τοῦ ἡλίου διαστάσεις ἀμφότεροι ε̄ που μοίρας κατὰ μέσον λόγον βορειότεροι ἢ νοτιώτεροι φαίνονται τῶν ἐναντίων μεγίστων ἀποστάσεων. Ἐπειδήπερ ὁ μὲν τῆς Ἀφροδίτης ἀδιαφόρῳ τῶν μοιρῶν ἐλάττοσι μὲν ἐπὶ τοῦ ἀπογείου τοῦ ἐκκέντρου, πλείοσι δὲ ἐπὶ τοῦ περιγείου φαίνεται τὴν εἰρημένην κατὰ πλάτος ἐναντίωσιν ποιούμενος· ὁ δὲ τοῦ Ἑρμοῦ ἡμίσει μάλιστα ᾱ μοίρας. Ὡς τὰς ἐπὶ τὰ ἕτερα τῶν κατὰ τοὺς ἐκκέντρους ἐπιπέδων λοξώσεις τοῦ ἐπικύκλου, κατὰ μέσον λόγον, δύο που ϟ ἥμισυ μοίρας ὑποτείνειν τοῦ πρὸς ὀρθὰς κύκλῳ τῷ ζωδιακῷ·

ἀφ' ὧν καὶ αἱ πηλικότητες τῶν γωνιῶν τῶν γινομένων ὑπὸ τῆς τῶν ἐπικύκλων λοξώσεως πρὸς τὰ τῶν ἐκκέντρων ἐπίπεδα λαμβάνονται, καθάπερ ἐν τοῖς ἑξῆς περὶ αὐτῶν ἀποδειχθησομένοις ἔσται δῆλον, ἵνα μὴ κατὰ τὸ παρὸν διακόπτωμεν τὸν περὶ τῶν ἐγκλίσεων κοινῶς ἐπὶ τῶν πέντε πλανωμένων λόγον.

Ὅταν δὲ κατὰ τοὺς συνδέσμους καὶ τὰς μέσας ἔγγιστα ἀποστάσεις αἱ κατὰ μῆκος διευκρινημέναι κινήσεις ὦσιν, ὁ μὲν τῆς Ἀφροδίτης περὶ μὲν τὸ ἀπόγειον τοῦ ἐπικύκλου τὴν πάροδον ποιούμενος, βορειότερος καὶ νοτιώτερος φαίνεται τοῦ διὰ μέσων μοίρᾳ $\bar{\alpha}$, περὶ δὲ τὸ περίγειον μοίραις $\bar{\varepsilon}$ καὶ γ″ ἔγγιστα· ὡς ἐκ τούτων καὶ τὴν ἔγκλισιν τοῦ ἐπικύκλου $\bar{\beta}$ καὶ ς″ μοίρας ἀπολαμβάνειν τοῦ διὰ τῶν πόλων αὐτοῦ καθ' ὃν εἰρήκαμεν τρόπον γραφομένου κύκλου. Τὰς γὰρ τοσαύτας εὑρίσκομεν ἐκ τῆς κατὰ τὸν ἐπίκυκλον ἀνωμαλίας, περὶ τὰ μέσα τῶν ἀποσημάτων, κατὰ μὲν τὸ ἀπόγειον τοῦ ἐπικύκλου ὑποτεινούσας πρὸς τῇ ὄψει γωνίαν μοίρας $\bar{\alpha}$ ἢ ἑξηκοστῶν $\bar{\beta}$, κατὰ δὲ τὸ περίγειον μοιρῶν $\bar{\varepsilon}$ καὶ ξξ $\bar{\kappa\beta}$. Ὁ δὲ τοῦ Ἑρμοῦ περὶ μὲν τὸ ἀπόγειον τοῦ ἐπικύκλου τὴν πάροδον ποιούμενος, ὡς ἐκ τῶν ἔγγιστα φάσεων ἄν τις ἐπιλογίσαιτο, νοτιώτερος καὶ βορειότερος γίνεται τοῦ διὰ μέσων μοίρᾳ $\bar{\alpha}$ καὶ ς″ καὶ τετάρτῳ, περὶ δὲ τὸ περίγειον μοίραις $\bar{\delta}$ ἔγγιστα· ὡς ἐκ τούτου καὶ τὴν ἔγκλισιν τοῦ ἐπικύκλου συνίστασθαι μοιρῶν $\bar{\varepsilon}$ καὶ δ′. Τὰς γὰρ τοσαύτας πάλιν εὑρίσκομεν, ἐκ τῆς κατὰ τὸν ἐπίκυκλον ἀνωμαλίας περὶ τὰ τῶν μεγίστων

d'où l'on peut conclure les valeurs des angles formés par l'inclinaison des épicycles sur les plans des excentriques, comme on le verra par les méthodes que nous exposerons dans la suite; car nous ne voulons pas interrompre ici ce que nous avons à dire de général sur les inclinaisons des cinq planètes.

Lorsque les longitudes corrigées sont dans les nœuds et vers les moyennes distances, Vénus, placée dans l'apogée de son épicycle, est plus boréale ou plus australe que l'écliptique, d'un degré; mais si elle est dans le périgée, sa latitude est de $6^{d}\frac{1}{3}$ à fort peu près. De là on conclut l'inclinaison de l'épicycle de $2^{d}\frac{1}{2}$ du cercle qui passe par les poles de l'écliptique (α), comme déjà nous l'avons dit. Car nous trouvons par l'anomalie de l'épicycle dans les distances moyennes, que ces quantités soutendent un angle à l'œil de $1^{d}\ 2'$ dans l'apogée de l'épicycle, et de $6^{d}\ 22'$ dans son périgée. Mais Mercure étant dans l'apogée de l'épicycle, comme chacun peut aisément le conclure des apparitions qui ont lieu vers ce point, est plus méridional et plus boréal de $1^{d}\frac{1}{2}\frac{1}{4}$ que le cercle mi-lieu du zodiaque; et de 4^{d} à peu près, dans le périgée; on en conclut la déclinaison de l'épicycle de $6^{d}\frac{1}{4}$. Car nous trouvons encore par l'anomalie de l'épicycle, dans les distances des plus grandes inclinaisons,

c'est-à-dire quand la longitude corrigée est d'un quart de cercle (*b*) distante de l'apogée, que l'angle à l'œil, que ces grandeurs soutendent, est de 1ᵈ 46′ dans l'apogée de l'épicycle, et de 4ᵈ 5′ dans le périgée.

Quant aux autres planètes, Saturne, Jupiter et Mars, on ne sauroit guères fixer les grandeurs de leurs inclinaisons; celle qui se fait dans l'excentrique et celle qui a lieu dans l'épicycle, étant confondues et mêlées l'une dans l'autre. Mais par le moyen des écarts en latitude observés dans les périgées et les apogées des excentriques et des épicycles, nous distinguons, comme on va le voir, l'une et l'autre de ces inclinaisons.

Soient dans le plan perpendiculaire au cercle milieu du zodiaque, son intersection AB avec le plan de ce cercle, et son intersection GD avec le plan de l'excentrique; E le centre du zodiaque, et dans l'intersection commune des plans(*c*), décrivez autour de l'apogée G de l'excentrique, et autour du périgée D, dans le plan supposé, deux cercles égaux ZHTK et LMNX, comme passant par les poles des épicycles sur lesquels les plans des épicycles font, par leurs inclinaisons, des angles égaux G et D, sur les droites HGK et MDX. Du centre du zodiaque, c'est-à-dire du lieu de l'œil, menez aux



ἐγκλίσεων ἀποσήματα, τουτέσιν ὅταν τὸ διευκρινημένον μῆκος τεταρτημόριον ἀπέχῃ τοῦ ἀπογείου, κατὰ μὲν τὸ ἀπόγειον τοῦ ἐπικύκλου ὑποτείνουσαν πρὸς τῇ ὄψει γωνίαν μοίρας ᾱ καὶ ἐξηκοστῶν μς', κατὰ δὲ τὸ περίγειον μοίρας δ̄ καὶ ἐξηκοστῶν ε'.

Επὶ δὲ τῶν λοιπῶν Κρόνου τε καὶ Διὸς καὶ Αρεως, αὐτόθεν μὲν οὐκ ἄντις ἐπιβάλλοι ταῖς πλινθότησι τῶν ἐγκλίσεων μεμιγμένων ἀμφοτέρων ἀεὶ, τῆς τε κατὰ τὸν ἔκκεντρον καὶ τῆς κατὰ τὸν ἐπίκυκλον ἀποτελουμένης. Απὸ δὲ τῶν κατά τε τὰ περίγεια καὶ τὰ ἀπόγεια τῶν ἐκκέντρων καὶ ἐπικύκλων τηρουμένων πάλιν κατὰ πλάτος παρόδων χωρίζομεν ἑκατέραν τῶν ἐγλίσεων τρόπῳ τοιῷδε.

Εσω γὰρ ἐν τῷ πρὸς ὀρθὰς τῷ διὰ μέσων τῶν ζωδίων ἐπιπέδῳ, ἡ πρὸς αὐτὸ κοινὴ τομὴ τοῦ μὲν ἐπιπέδου τοῦ διὰ μέσων ἡ AB, τοῦ δὲ ἐπιπέδου τοῦ ἐκκέντρου ἡ ΓΔ, τὸ δὲ Ε σημεῖον κέντρον τοῦ ζωδιακοῦ, καὶ ἐν τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων γεγράφθωσάν τε περὶ τὸ Γ ἀπόγειον τοῦ ἐκκέντρου, καὶ περὶ τὸ Δ περίγειον, ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, ἴσοι κύκλοι, ὅτε ΖΗΘΚ καὶ ὁ ΛΜΝΞ, ὡς αἱ διὰ τῶν πόλων τῶν ἐπικύκλων, ἐφ' ὧν ἐγκεκλίσθω τὰ τῶν ἐπικύκλων ἐπίπεδα, ἐπί τε τῆς ΗΓΚ καὶ τῆς ΜΔΞ, πρὸς ἴσας δηλονότι τὰς πρὸς τοῖς Γ καὶ Δ γωνίας. Καὶ ἐπεζεύχθωσαν ἀπὸ τοῦ ἐκκέντρου τοῦ ζωδιακοῦ, ἐφ' οὗ ἐστιν ἡ ὄψις, ἐπὶ τὰ

ἀπόγεια καὶ περίγεια τῶν ἐπικύκλων εὐθεῖαι, ἐπὶ μὲν τὰ ἀπόγεια αἱ ΕΗ καὶ ΕΜ, ἐπὶ δὲ τὰ περίγεια αἱ ΕΚ καὶ ΕΞ, τῶν μὲν Κ καὶ Ξ σημείων τὰς ἀχρονύκτους δηλονότι παρόδους περιεχόντων, τῶν δὲ Η καὶ Μ τὰς συνοδικάς.

Ἐπὶ μὲν οὖν τοῦ τοῦ Ἄρεως ἐλάβομεν τὰς γινομένας κατὰ πλάτος παρόδους, περί τε τὰς κατὰ τὸ ἀπόγειον τοῦ ἐκκέντρου συνιζαμένας ἀχρονύκτους, τουτέστι τὰς περὶ τὸ Κ σημεῖον τοῦ ἐπικύκλου, καὶ περὶ τὰς κατὰ τὸ περίγειον τοῦ ἐκκέντρου, τουτέστι πρὸς τὸ Ξ σημεῖον τοῦ ἐπικύκλου, διὰ τὸ πάνυ αἰσθητὴν αὐτῶν εἶναι τὴν διαφοράν· ἀφίσται δὲ ἐν μὲν ταῖς περὶ τὸ ἀπόγειον ἀχρονύκτοις πρὸς ἄρκτους τοῦ διὰ μέσων μοίρας $\bar{\delta}$ $\bar{\gamma}''$, ἐν δὲ ταῖς κατὰ τὸ περίγειον πρὸς μεσημβρίαν μοίραις $\bar{\zeta}$ ἔγγισα. Ὡστε καὶ τὴν μὲν ὑπὸ ΑΕΚ γωνίαν συνίσασθαι τοιούτων $\bar{\delta}$ $\bar{\gamma}$, οἵων εἰσὶν αἱ τέσσαρες ὀρθαὶ τ$\bar{\xi}$, τὴν δὲ ὑπὸ ΒΕΞ γωνίαν τῶν αὐτῶν $\bar{\zeta}$.

Τούτων δ' ὑποκειμένων εὑρίσκομεν τήν τε ὑπὸ τῆς τοῦ ἐκκέντρου ἐγκλίσεως περιεχομένην γωνίαν, τουτέστι τὴν ὑπὸ ΑΕΓ, καὶ τὴν ὑπὸ τῆς τοῦ ἐπικύκλου, τουτέστι τὴν ὑπὸ ΗΓΖ, τρόπῳ τοιῷδε· ἐπειδὴ γὰρ, ἐξ ὧν ἀπεδείξαμεν τοῦ Ἄρεως ἀνωμαλιῶν, εὐκατανόητόν ἐστιν ὅτι τῶν ὑποτεινομένων πρὸς τῇ ὄψει γωνιῶν, ὑπὸ τῶν ἴσων καὶ πρὸς τοῖς περιγείοις τοῦ ἐπικύκλου περιφερειῶν, αἱ περὶ τὰς κατὰ τὸ ἀπόγειον τοῦ ἐκκέντρου παρόδους πρὸς τὰς κατὰ τὸ περίγειον λόγον ἔχουσιν ὃν τὰ $\bar{\varepsilon}$ ἔγγισα πρὸς τὰ $\bar{\theta}$,

apogées et aux périgées des épicycles, les droites EH et EM aux apogées, EK et EX aux périgées ; les points K et X marquant les oppositions, et les points H et M les conjonctions.

Pour Mars, nous avons pris les mouvements en latitude qui se font lors des oppositionsdans l'apogée de l'excentrique, autour du point K de l'épicycle ; et ceux qui se font lors des oppositions dans le périgée de l'excentrique, c'est-à-dire autour du point X de l'épicycle, parceque leur différence est très-sensible. Or, lorsqu'il est en opposition, dans l'apogée, il est éloigné du cercle milieu du zodiaque, de $4^{d}\frac{1}{3}$ vers les ourses; et dans le périgée, d'environ 7^{d} vers le midi. Ainsi l'angle AEK est de $4^{d}\frac{1}{3}$ des degrés dont 360 font quatre angles droits, et l'angle BEX est de 7 de ces degrés.

Cela posé, nous trouvons de la manière suivante l'angle AEG de l'inclinaison de l'excentrique, et l'angle HGZ de celle de l'excentrique : d'après ce que nous avons démontré concernant les anomalies de Mars, il est aisé de concevoir que, des angles dont les sommets sont à l'œil, et qui sont appuyés sur des arcs égaux de l'épicycle, ceux qui se font par les mouvements dans l'apogée, sont à ceux dans le périgée, comme 5 sont à 9, à peu près.

Mais les arcs TK et NX sont égaux, donc l'angle GEK sera à l'angle DEX, comme 5 à 9. Par conséquent puisque les angles AEK, BEX, étant donnés, le rapport de l'angle GEK à l'angle DEX est aussi donné; or l'angle AEG est égal à l'angle BED ; ainsi, prenant de chaque raison, une quantité égale au rapport de la différence des grandeurs à la différence des termes de la raison, nous aurons la grandeur des quantités qui composent la raison, car cela se prouve par une proportion arithmétique. Donc, les grandeurs étant $4\frac{1}{3}$ et 7, leur différence est $2\frac{2}{3}$, et la raison étant celle de 5 à 9, la différence de ces nombres est 4. Or, $2\frac{2}{3}$ sont les $\frac{2}{3}$ de 4; prenant donc de chacun des nombres 5 et 9, cette fraction $\frac{2}{3}$, nous aurons l'angle GEK de $3^{d}\frac{1}{3}$, et l'angle DEX de 6^{d}. Par conséquent chaque angle restant, AEG et BED, de l'inclinaison de l'excentrique, est de 1^{d}. C'est pourquoi l'arc TK de l'inclinaison de l'épicycle, est de $2^{d}\frac{1}{4}$, parceque ce sont, suivant la table de l'anomalie, les quantités trouvées pour les angles GEK et DEX.

Pour Saturne et Jupiter, puisque nous trouvons que leurs mouvements dans les segments des apogées des excentriques, ne sont pas sensiblement différents de ceux qui se font dans les périgées, et



ἴσαι δὲ αἱ ΘΚ καὶ ΝΞ περιφέρειαι, λόγος ἂν εἴη καὶ τῆς ὑπὸ ΓΕΚ γωνίας πρὸς τὴν ὑπὸ ΔΕΞ, ὁ τῶν ε πρὸς τὰ θ. Ως' ἐπεὶ δεδομέναι μέν εἰσιν αἱ ὑπο ΑΔΚ καὶ ὑπὸ ΒΕΞ γωνίαι, δέδοται δὲ καὶ ὁ τῆς ὑπὸ ΓΕΚ πρὸς τὴν ὑπὸ ΔΕΞ λόγος, καὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΕΓ τῇ ὑπὸ ΒΕΔ· ἐὰν ὅσον μέρος ἐστὶν ἡ ὑπεροχὴ τῶν πηλικοτήτων τῆς ὑπεροχῆς τῶν λόγων, τὸ τοσοῦτον μέρος ἑκάστου τῶν λόγων λάβωμεν, ἕξομεν τὴν ὑπὸ τὸν οἰκεῖον λόγον πηλικότητα· δείκνυται γὰρ τοῦτο διὰ λημματίου τινὸς ἀριθμητικοῦ. Επεὶ οὖν αἱ μὲν πηλικότητές εἰσι δ γ' καὶ ζ, καὶ ἡ ὑπεροχὴ τούτων β γ., ὁ δὲ λόγος ὁ τῶν ε πρὸς τὰ θ, καὶ ἡ ὑπεροχὴ τούτων δ, τὰ δὲ β γ: τῶν δ μέρος ἐστὶ διμοίρων, τὸ τοσοῦτον λαβόντες μέρος τῶν ε καὶ τῶν θ, τὴν μὲν ὑπὸ ΓΕΚ γωνίαν ἕξομεν γ γ' μοιρῶν, τὴν δὲ ὑπὸ ΔΕΞ τῶν αὐτῶν ε· λοιπὴν δ' ἀκολούθως ἑκατέραν τῶν ὑπὸ ΑΕΓ καὶ ΒΕΔ τῆς τοῦ ἐκκέντρου ἐγκλίσεως, μοίρας α· ἐκ δὲ τούτων καὶ τὴν ΘΚ περιφέρειαν τῆς τοῦ ἐπικύκλου ἐγκλίσεως, μοιρῶν β δ', διὰ τὸ τὰς τοσαύτας κατὰ τὸν τῆς ἀνωμαλίας κανόνα περιέχειν ἔγγιστα τὰς εὑρημένας πηλικότητας τῶν ὑπὸ ΓΕΚ καὶ ΔΕΞ γωνιῶν.

Επὶ δὲ Κρόνου καὶ Διὸς, ἐπειδὴ πρὸς αἴσθησιν ἀδιαφορούσας εὑρίσκομεν τὰς περὶ τὰ ἀπόγεια τῶν ἐκκέντρων τμήματα γινομένας παρόδους τῶν περὶ τὰ περίγεια, καὶ κατὰ διάμετρον καθ' ἑκάτερον

τροπον ἐκ τῆς τῶν περὶ τὰ ἀπόγεια τῶν ἐπικύκλων πρὸς τὰς περὶ τὰ περίγεια συγκρίσεως ἐπιλογισόμεθα τὸ προκείμενον. Αφίσταται δ' ὡς ἐκ τῶν κατὰ μέρος τηρήσεων γέγονεν ἡμῖν εὐκατανόητον, ἐν μὲν ταῖς περὶ τὰς φάσεις καὶ κρύψεις παρόδοις τὸ πλεῖσον πρὸς ἄρκτους καὶ μεσημβρίαν, ὁ μὲν τοῦ Κρόνου $\bar{\beta}$ μοίρας ἔγγιστα, ὁ δὲ τοῦ Διὸς $\bar{\alpha}$. Εν δὲ ταῖς περὶ τὰς ἀκρονύκτους, ὁ μὲν τοῦ Κρόνου $\bar{\gamma}$ μοίρας, ὁ δὲ τοῦ Διὸς $\bar{\beta}$. Επειδὴ οὖν καὶ ἐκ τῆς τούτων ἀνωμαλίας γίνεται φανερὸν, ὅτι τῶν ὑποτεινομένων πρὸς τῇ ὄψει γωνιῶν, ὑπὸ τῶν ἴσων περὶ τὰ ἀπόγεια καὶ περίγεια τοῦ ἐπικύκλου περιφερειῶν, αἱ ὑπὸ τῶν περὶ τὰ ἀπόγεια συνισάμεναι λόγον ἔχουσι πρὸς τὰς ὑπὸ τῶν περὶ τὰ περίγεια γινομένων, ἐπὶ μὲν τοῦ τοῦ Κρόνου ὃν τὰ $\bar{\iota\eta}$ πρὸς τὰ $\bar{\kappa\gamma}$, ἐπὶ δὲ τοῦ τοῦ Διὸς, ὃν τὰ $\bar{\kappa\theta}$ πρὸς τὰ $\bar{\mu\gamma}$, ἴσαι δὲ αἱ ΖΗ, καὶ ΘΚ τοῦ ἐπικύκλου περιφέρειαι, λόγος ἔσαι ἡ τῆς ὑπὸ ΖΕΗ γωνίας πρὸς τὴν ὑπὸ ΖΕΚ, ἐπὶ μὲν τοῦ τοῦ Κρόνου ὁ τῶν $\bar{\iota\eta}$ πρὸς τὰ $\bar{\kappa\gamma}$, ἐπὶ δὲ τοῦ τοῦ Διὸς, ὁ τῶν $\bar{\kappa\theta}$ πρὸς τὰ $\bar{\mu\gamma}$. Αλλὰ καὶ ἡ ὑπὸ ΗΕΚ γωνία ὑπεροχὴ οὖσα τῶν $\bar{\beta}$ κατὰ πλάτος παρόδων, ἐπ' ἀμφοτέρων τῶν ἀστέρων καταλείπεται μοίρας $\bar{\alpha}$. Κατὰ τοὺς ἐκκειμένους ἄρα λόγους διαιρεθείσης τῆς $\bar{\alpha}$ μοίρας, ἕξομεν τὴν μὲν ὑπὸ ΖΕΗ γωνίαν, ἐπὶ μὲν Κρόνου ἑξηκοστῶν $\kappa\varsigma'$, ἐπὶ δὲ Διὸς $\kappa\delta'$· τὴν δὲ ὑπὸ ΖΕΚ, ἐπὶ μὲν Κρόνου ἑξηκοστῶν $\lambda\delta'$, ἐπὶ δὲ Διὸς $\lambda\bar{\varsigma}$. Ωστε καὶ λοιπὴ ἡ ὑπὸ ΑΕΓ τῆς ἐγκλίσεως τοῦ ἐκκέντρου καταλειφθήσεται ἐπὶ μὲν Κρόνου μοιρῶν

